1 ἔθετο D | ὁ ante Π. om. D | 2 Ἁν.] πρὸς Ἁ-αν D, πρ. Ἁ. Ἁ-α w, πρ. αὐτόν Ἁ-α p (cf. Es Sch.) | 3 D pro τὸ πν. τὸ ἅ. | ν. σε DP | 6 ποι. add. Dp sah | τὸ πον. τ. D^{b} (τὸ om. D^{1}) sah (*ista* p) | 7 pro ἀκούων D | ὁ om. D | 8 παραχρῆμα add. Dp (E 9 post δὲ, et εὐθέως δὲ ἀκ. 7) | ἐ. τ. γ. (IX, 4) add. p | 10 συνεστ. . . ἐξεν.] *tulerunt* (*int.* Lucif.) . . *euntes* g Lucif., *amoverunt* p^{2}, *ferentes* p^{1} | 11 διάστεμα D | 12 Dgp pro ἀπεκρίθη (πρὸς ἣν ὁ Π. ἔφη E) | δὲ] οὖν p | ὁ add. DEP | 13 D pro εἰπέ μοι εἰ | τοσ. h. l. D sah | 14 ν. τ.] *itaque* g, *tanti* Lucif., *ita* (p^{2} *etiam*) *tanti* p | 15 πρὸς om. D^{1} | συνεφώνησεν D | 16 τοῦ add. D | 17 Dg pro ἔπ. δὲ (*que* p, asynd. v) | 19 D pro ἐξενέγκαντες | 24 ἅπ.] ἐν τῷ ἱερῷ add. D sah | 25 alt. τῇ add. D | D pro τ. δὲ λ. οὐδ. | 27 πληθι D^{1} | 28 καὶ εἰς τὰς] κατὰ τὰς P, κατα D^{1} (καὶ ἐν ταῖς πλατείαις E)

ἀσθενεῖς αὐτῶν καὶ τιθέναι ἐπὶ κλιναρίων καὶ κραβάτων, ἵνα ἐρχομένου Πέτρου κἂν ἡ σκιὰ ἐπισκιάσῃ τινὶ αὐτῶν· ἀπηλλάσσοντο γὰρ ἀπὸ πάσης ἀσθενείας, ἧς εἶχεν ἕκαστος αὐτῶν. 16 *συνήρχετο δὲ καὶ τὸ πλῆθος τῶν πέριξ πόλεων Ἱερουσαλήμ, φέροντες ἀσθενεῖς καὶ ὀχλουμένους ἀπὸ* 5 *πνευμάτων ἀκαθάρτων, καὶ ἰῶντο πάντες,* καὶ ἐμεγάλυνον τὸν κύριον Ἰηςοῦν χριςτόν. 17 *Ἄννας δὲ ὁ ἀρχιερεὺς καὶ πάντες οἱ σὺν αὐτῷ, ἡ οὖσα αἵρεσις τῶν Σαδδουκαίων, ἐπλήσθησαν ζήλου,* 18 *καὶ ἐπέβαλον τὰς χεῖρας ἐπὶ τοὺς ἀποστόλους, καὶ ἔθεντο αὐτοὺς ἐν τηρήσει δημοσίᾳ,* 10 *καὶ ἐπορεύθη εἷς ἕκαστος εἰς τὰ ἴδια.* 19 *τότε †διὰ νυκτὸς ἄγγελος κυρίου ἀνέῳξεν τὰς θύρας τῆς φυλακῆς, ἐξαγαγών τε αὐτοὺς εἶπεν·* 20 *„Πορεύεσθε καὶ σταθέντες λαλεῖτε ἐν τῷ λαῷ πάντα τὰ ῥήματα τῆς ζωῆς ταύτης“.* 21 *ἐξελθόντες δὲ ἐκ τῆς φυλακῆς εἰσῆλθον ὑπὸ τὸν ὄρθρον* 15 *εἰς τὸ ἱερόν, καὶ ἐδίδασκον* ἐν τῷ ὀνόματι κυρίου Ἰηςοῦ. *παραγενόμενος δὲ ὁ ἀρχιερεὺς καὶ οἱ σὺν αὐτῷ, ἐγερθέντες τὸ πρωὶ καὶ συγκαλεσάμενοι τὸ συνέδριον καὶ πᾶσαν τὴν γερουσίαν τῶν υἱῶν Ἰσραήλ, ἀπέστειλαν εἰς τὸ δεσμωτήριον, ἀχθῆναι αὐτούς.* 22 *οἱ δὲ ὑπηρέται παραγε-* 20 *νόμενοι καὶ ἀνοίξαντες τὴν φυλακήν, οὐχ εὗρον αὐτοὺς ἔσω, ἀναστρέψαντες δὲ ἀπήγγειλαν* 23 *λέγοντες, ὅτι „τὸ δεσμωτήριον εὕρομεν κεκλεισμένον ἐν πάσῃ ἀσφαλείᾳ, καὶ τοὺς φύλακας ἑστῶτας ἐπὶ τῶν θυρῶν, ἀνοίξαντες δὲ ἔσω*

1 *αὐτῶν* add. Dp | *κραβάττων* D al. | 3 sq. add. D (*ὡς* pro *ἧς*) p (*et liberabantur; quam*); in brevius contracta gw al. (*καὶ ῥυσθῶσιν ἀ. π. ἀσθ. ἧς εἶχον* E) | 4 *καὶ* om. D[1] (add. [b]) g (Lucif.; non p); *διὸ συν. κ.* E | *τὸ* om. D | *περι* D[1] | 5 *εἰς Ἰ.* DEP | *φ. μεθ' ἑαυτῶν* E | D pro *ὑπὸ* | 6 Dp (g Lucif.) pro *οἵτινες ἐθεραπεύοντο ἅπ.*; *et magnificabant dominum I. C.* add. duo codd. Bergeri | 7 *Ἄννας* pro *ἀναστὰς* p (cod. Dubl. ap. Berger.), recte ut vid.; post *ἀν. δὲ* Prov. | 11 *καὶ . . ἴδια* add. D | D Sch. pro *ἄ. δὲ κ. δ. ν.* | 12 *ανεωξαν* D[1], *ἤνοιξεν* B al. | 13 sq. *euntes state in t. et* p | 14 sq. E Sch. (hic om. *ἐκ τ. φ.*) pro *ἀκούσαντες δὲ*, cf. XVI, 40 | 16 add. Prov. w (w *in n. I. C.*) | 17 *παρα-νοι* (B[1]) *δὲ οἱ ἀρχιερεῖς . . αὐτοῖς* p | 17 sq. add. D; vid. scr. in *β ὁ δὲ*, om. *παραγ.* | 18 *καὶ σ.* D pro *συνεκάλεσαν* | 19 *τῶν υἱῶν* om. g (non Lucif.) p[1] | delevi *καὶ* post *Ἰσρ.* | 21 *καὶ . . φυλ.* add. Dspv | 22 *ἔσω* pro *ἐν τῇ φ.* D, om. v (*cum autem ven. min. et aperto carc. non invenissent illos, reversi nunciaverunt*) | *et regr.* gp | *ἀπήγγ.*] incipit aliud frg. f, usque ad VIII, 2 | *τὸ μὲν* EPgpv Lucif. | 23 *εκλεκλ.* D[2] | 24 *ἔσω* om. f (post *οὐδ.* g)

οὐδένα εὕρομεν“. 24 ὡς δὲ ἤκουσαν τοὺς λόγους τούτους
ὅ τε στρατηγὸς τοῦ ἱεροῦ καὶ οἱ ἀρχιερεῖς, διηπόρουν περὶ
αὐτῶν, τί ἂν γένοιτο τοῦτο. 25 παραγενόμενος δέ τις ἀπήγ-
γειλεν αὐτοῖς λέγων, ὅτι „ἰδοὺ οἱ ἄνδρες, οὓς ἔθεσθε ἐν τῇ
5 φυλακῇ, εἰσὶν ἐν τῷ ἱερῷ ἑστῶτες καὶ διδάσκοντες τὸν λαόν“.
26 τότε ἀπελθὼν ὁ στρατηγὸς σὺν τοῖς ὑπηρέταις ἦγεν αὐ-
τοὺς οὐ μετὰ βίας, φοβούμενος μήποτε λιθασθῇ ὑπὸ
τοῦ λαοῦ. 27 καὶ ὡς ἤγαγον αὐτοὺς ἐνώπιον τοῦ
συνεδρίου, ἤρξατο πρὸς αὐτοὺς ὁ ἀρχιερεὺς 28 λέγειν·
10 „Οὐ παραγγελίᾳ παρηγγείλαμεν ὑμῖν μὴ διδάσκειν ἐπὶ τῷ
ὀνόματι τούτῳ; ὑμεῖς δὲ ἰδοὺ πεπληρώκατε τὴν Ἰερουσαλὴμ
τῆς διδαχῆς ὑμῶν, καὶ βούλεσθε ἐπαγαγεῖν ἐφ᾽ ἡμᾶς τὸ αἷμα
τοῦ ἀνθρώπου ἐκείνου“. 29 ἀποκριθεὶς δὲ Πέτρος Λ εἶπεν
πρὸς αὐτόν· „Τίνι πειθαρχεῖν δεῖ, θεῷ ἢ ἀνθρώποις“;
15 ὁ δὲ εἶπεν· „Θεῷ“. ὁ δὲ Πέτρος εἶπεν πρὸς αὐ-
τούς· 30 „Ὁ θεὸς τῶν πατέρων ἡμῶν ἤγειρεν Ἰησοῦν, ὃν
ὑμεῖς διεχειρίσασθε κρεμάσαντες ἐπὶ ξύλου· 31 τοῦτον ὁ θεὸς
ἀρχηγὸν καὶ σωτῆρα ὕψωσεν τῇ δεξιᾷ αὐτοῦ, τοῦ δοῦναι
μετάνοιαν τῷ Ἰσραὴλ καὶ ἄφεσιν ἁμαρτιῶν. 32 καὶ ἡμεῖς
20 ἐσμεν μάρτυρες πάντων [τῶν ῥημάτων] τούτων, καὶ τὸ πνεῦμα
τὸ ἅγιον, ὃ ἔδωκεν ὁ θεὸς τοῖς πειθαρχοῦσιν αὐτῷ“. 33 Οἱ
δὲ ἀκούσαντες τὰ ῥήματα ταῦτα διεπρίοντο καὶ ἐβούλοντο
ἀνελεῖν αὐτούς. 34 ἀναστὰς δέ τις ἐκ τοῦ συνεδρίου Φαρι-
σαῖος ὀνόματι Γαμαλιήλ, νομοδιδάσκαλος τίμιος παντὶ τῷ
25 λαῷ, ἐκέλευσεν †τοὺς ἀνθρώπους ἔξω βραχὺ ποιῆσαι, 35 εἶπέν

2 *ἐθαύμαζον καὶ δι.* E | 3 *γενηται* D[1] (*θέλοι εἶναι* E) | 4 *λ.* add. fgp Lucif. | 6 *ηγαγον* D[1] | 7 *οὐ* om. D[1], *n[on* . . . . . f | *φοβούμενοι γὰρ τὸν κτέ.* (ut α) D, at f *metuens ne forte lapidaretur a populo* | 8 sq. *καὶ* . . *πρὸς* f, it. *dicere* | 9 *ἱερεὺς* D[1]g Lucif., *praetor* (i. e. *στρατηγὸς*) f | 10 *οὐ* hab. Dfp (om. ℵ[1]ABgv) | 10 *ne unquam in hoc nomine doceretis [populum?]* f | 11 *ὑμ. δὲ* f Sch. pro *καὶ* (om. *καὶ* D[1], add. [b]) | 13 pro *τούτου* D[1]fg sah | *καὶ οἱ ἀπόστολοι* om. f; 14 *πρὸς α.* add. f (*ad il[lum* . . . .); D om. *ἀποκριθεὶς* . . *αὐτόν* | 14 *τίνι* . . 15 *θεῷ* fg Lucif. (cf. cod. Dubl. ap. Berger.) | 15 *ὁ δὲ Π.* . . *αὐτούς* Df (*et dixit P. ad eum*) g = Luc. (*et P. ait ad illos*) | 16 *τὸν παῖδα αὐτοῦ Ἰ.* (= III, 13) E | *vos apprehendistis et* Iren. | 18 *δεξιᾷ*] *δόξῃ* D[1] (corr. [b]) gp sah Iren. (f?) | *τοῦ* om. plerique, et. Df Iren. | 19 *ἁμ.*] add. *ἐν αὐτῷ* D sah (f *in se*, om. *ἁμ.*); et. B Iren. ante *μάρτ.* 20 | 20 *μὲν μ. ἐσμεν* f | add. D[1]fp, *τ. ῥ.* (22) om. p | 22 add. Mps(f) | *ἐβουλεύοντο* Dfgpv Lucif. c. ℵ al. | 23 DEfp pro *ἐν τῷ σ.*; add. *princeps* = *ἄρχων* w; fort. *ἄρχων τῶν Φαρισαίων* (*Ph-orum* p) | 25 *τοὺς*

τε πρὸς τοὺς ἄρχοντας καὶ τοὺς συνέδρους· „Ἄνδρες Ἰσραηλῖται, προσέχετε ἑαυτοῖς ἐπὶ τοῖς ἀνθρώποις τούτοις, τί μέλλετε πράσσειν. 36 πρὸ γὰρ τούτων τῶν ἡμερῶν ἀνέστη Θευδᾶς λέγων εἶναί τινα ἑαυτόν, ᾧ προσεκλίθη ἀριθμὸς ἀνδρῶν ὡς τετρακοσίων, ὃς κατελύθη αὐτὸς δι' *ἑαυτοῦ, 5 καὶ πάντες ὅσοι ἐπείθοντο αὐτῷ, καὶ ἐγένοντο εἰς οὐθέν. 37 μετὰ τοῦτον ἀνέστη Ἰούδας ὁ Γαλιλαῖος, ἐν ταῖς ἡμέραις τῆς ἀπογραφῆς, καὶ ἀπέστησεν λαὸν ὀπίσω αὐτοῦ· κἀκεῖνος κατελύθη, καὶ πάντες ὅσοι ἐπείθοντο αὐτῷ διεσκορπίσθησαν. 38 καὶ τὰ νῦν, ἀδελφοί, λέγω ὑμῖν, ἀπόστητε ἀπὸ τῶν 10 ἀνθρώπων τούτων καὶ ἄφετε αὐτούς, μὴ μιάναντες τὰς χεῖρας· ὅτι ἐὰν †αὕτη ἡ ἐξουσία ἀνθρωπίνου θελήματος †ᾖ, καταλυθήσεται ἡ δύναμις αὐτῆς· 39 εἰ δὲ αὕτη ἡ ἐξουσία ἐκ θεοῦ θελήματός ἐστιν, οὐ δυνήσεσθε καταλῦσαι αὐτούς, οὔτε ὑμεῖς οὔτε βασιλεῖς οὔτε 15 τύραννοι· ἀπέχεσθε οὖν ἀπὸ τῶν ἀνθρώπων τούτων, μή ποτε καὶ θεομάχοι εὑρεθῆτε". 40 ἐπείσθησαν δὲ αὐτῷ, καὶ προσκαλεσάμενοι τοὺς ἀποστόλους, δείραντες †ἀπέλυσαν αὐτούς, παραγγείλαντες μηδέποτε λαλεῖν τινι ἐπὶ τῷ ὀνόματι τοῦ Ἰησοῦ. 41 οἱ μὲν οὖν ἀπόστολοι 20 ἀπολυθέντες ἐπορεύοντο χαίροντες ἀπὸ προσώπου τοῦ συνεδρίου, ὅτι κατηξιώθησαν ὑπὲρ τοῦ ὀνόματος ἀτιμασθῆ-

ἀ. h. l. Df; sed τοὺς ἀποστόλους DfEHPg | ποιῆσαι] d]uci interim f, secedere g

1 D (-δρίους) pro αὐτούς (totum concilium f) | 2 τί ante ἐπὶ f; ἀπὸ τῶν ἀ. τούτων Egp | 4 Theodas gpw (magus add. w, cf. VIII, 9) | τινα μέγαν ἑ. D, τ. ἑ. μ. E, quidam dicens se esse magnum f, cf. g al.; at sah copt. dicens ego sum (Luc. XXI, 8 al.), fort. recte | ᾧ καὶ D; ἀρ. h. l. DHPfgp | 5 κατελύθη (v. 37 sqq.) Euseb. recte, διελύθη D[1], dissolutus est (= κατελ. vel διελ.) p, pro ἀνῃρέθη | α. δι αυτου add. D | 6 post αὐτῷ omisi διελύθησαν cum D (et. καὶ om. d, καὶ ἐγ. om. p[1]); de constr. cf. XVI, 15 | D pro -δέν | 8 λ. πολὺν CDgp, λ. ἱκανὸν A[2]HP, ἱκ. λ. E(fw) | 9 κατελ. pro ἀπώλετο recte p | 10 κ. τ. ν.] εισιν add. D[1], νῦν δὲ f | ἀδ. add. Df | 11 ἄφ.] ἐάσατε DEHPg | μὴ κτὲ. add. DE (E μολύνοντες) f, add. ὑμῶν Ef | 12 sqq. ita f | 15 add. Dsf (f ac pro tertio οὔτε), cf. Egw (οὔτε ὑ. οὔτε οἱ ἄρχοντες ὑμῶν; om. rell. Eg; w in fine ab eis) | 17 καὶ om. D[1] (add. [b]) p | ἐπ.] . επειστ . . . . εσ D[1] | δὲ] οὖν dfg | 18 sq. ἀπέλ. α. h. l. fg (g om. αὐτ.) Lucif.; eid. παραγγείλ., f μηδέποτε pro μὴ (μηκέτι p ut IV, 17); τινι f, sed g Luc. μηδενὶ ἀνθρώπων post Ι., cf. IV, 17 | 20 μ. οὖν] δὲ f | ἀποστ. add. Dp(f) | dimissi abierunt f (abierunt et. p) | 22 ὀν.] Iesu add. fg (non Lucif.), Christi p

ναι· 42 πᾶσάν τε ἡμέραν ἐν τῷ ἱερῷ καὶ κατ' οἶκον οὐκ ἐπαύοντο διδάσκοντες καὶ εὐαγγελιζόμενοι τὸν κύριον Ἰησοῦν χριστόν.

6 1 Ἐν δὲ ταύταις ταῖς ἡμέραις πληθυνόντων τῶν μα-
5 θητῶν, ἐγένετο γογγυσμὸς τῶν Ἑλληνιστῶν πρὸς τοὺς Ἐβραί-
ους, ὅτι παρεθεωροῦντο ἐν τῇ διακονίᾳ τῇ καθημερινῇ αἱ
χῆραι αὐτῶν ὑπὸ τῶν διακόνων τῶν Ἐβραίων. 2 προσ-
καλεσάμενοι δὲ οἱ δώδεκα τὸ πλῆθος τῶν μαθητῶν εἶπαν
πρὸς αὐτούς· „Οὐκ ἀρεστόν ἐστιν ἡμᾶς καταλείψαντας τὸν
10 λόγον τοῦ θεοῦ διακονεῖν τραπέζαις. 3 τί οὖν ἐστιν,
ἀδελφοί; ἐπισκέψασθε ⋀ ἄνδρας ἐξ ὑμῶν αὐτῶν μαρτυρου-
μένους ἑπτὰ πλήρεις πνεύματος καὶ σοφίας, οὓς καταστή-
σομεν ἐπὶ τῆς χρείας ταύτης· 4 ἡμεῖς δὲ ἐσόμεθα τῇ
προσευχῇ καὶ τῇ διακονίᾳ τοῦ λόγου προσκαρτεροῦντες“.
15 5 Καὶ ἤρεσεν ὁ λόγος οὗτος ἐνώπιον πάντων τῶν μα-
θητῶν, καὶ ἐξελέξαντο Στέφανον, ἄνδρα πλήρη πίστεως καὶ
πνεύματος ἁγίου, καὶ Φίλιππον καὶ Πρόχορον καὶ Νικάνορα
καὶ Τίμωνα καὶ Παρμενᾶν καὶ Νικόλαον προσήλυτον Ἀν-
τιοχέα. 6 οὗτοι ἐστάθησαν ἐνώπιον τῶν ἀποστόλων, οἵ-
20 τινες προσευξάμενοι ἐπέθηκαν αὐτοῖς τὰς χεῖρας.

7 Καὶ ὁ λόγος τοῦ κυρίου ηὔξανεν, καὶ ἐπληθύνετο ὁ
ἀριθμὸς τῶν μαθητῶν ἐν Ἰερουσαλὴμ σφόδρα, πολύς τε
ὄχλος τῶν ἱερέων ὑπήκουον τῇ πίστει.

8 Στέφανος δὲ πλήρης χάριτος καὶ δυνάμεως ἐποίει τέ-
25 ρατα καὶ σημεῖα μεγάλα ἐν τῷ λαῷ διὰ τοῦ ὀνόματος
κυρίου [Ἰησοῦ χριστοῦ]. 9 ἀνέστησαν δέ τινες τῶν ἐκ
τῆς συναγωγῆς τῆς λεγομένης Λιβερτίνων καὶ Κυρηναίων
καὶ Ἀλεξανδρέων καὶ τῶν ἀπὸ Κιλικίας καὶ Ἀσίας συνζη-

1 δὲ Dfgv (non p lr.) | 2 κ. Ἰ. χρ. Dfp(g), χρ. Ἰ. τὸν υἱὸν τ. θεοῦ Iren. | 4 τ. τ. ἡμ. D(g) pro τ. ἡμ. ταύτ. (ἐκείναις fv) | -ύνοντος τοῦ ὄχλου τῶν μ. sec. f | 6 alterum τῇ om. D[1] | 7 add. D[1] ἐν τῇ διακονίᾳ τ. Ἐ.; sec. f 6 sq. ὅτι ἐν τῇ καθ. δ. αἱ χ. τῶν Ἑλλ. ὑπὸ τῶν διακόνων τ. Ἐ. παρ. | καὶ προσκ. οἱ f Cypr., πρ. οἱ sine δὲ (οὖν p) D[1] (add. [a]) | 8 πᾶν τὸ πλ. f | 9 πρ. α. add. D (*eis* f Cypr.) | ἡμῖν (C)Dgp, ὑμῖν f | 10 sq. add. Dfp | 11 om. δὴ ἀδελφοὶ eid. | αὐτῶν add. Dfgp | 12 *sp. sancto et sap. domini* f | 13 ταύτ. τ. χρ. fgp (αὐτῆς D[1]) | 13 sq. D(fgpv) | 15 οὗτος add. Df(g) | 15 f (παντὸς τοῦ πλήθους τ. μ. D) | 16 πλήρης D al. | 19 Dp (τούτους ἔστησαν f) | 19 sq. D | 21 DEpv | 22 ἐν Ἰερ. om. f? | δὲ fp | 23 add. τοῦ εὐαγγελίου s(f?) | 25 μεγάλα om. f | 25 sq. add. Ds (hic om. Ἰ. χρ.) p (sim. Efg) | 27 *et alii Cyrenaei et ab Alexandria* f; καὶ τῶν ἀπὸ Ἀλεξανδρείας καὶ ἀπὸ Κιλ. sec. p

τοῦντες τῷ Στεφάνῳ, 10 οἵτινες οὐκ ἴσχυον ἀντιστῆναι τῇ σοφίᾳ τῇ οὔσῃ ἐν αὐτῷ καὶ τῷ πνεύματι τῷ ἁγίῳ ᾧ ἐλάλει, διὰ τὸ ἐλέγχεσθαι αὐτοὺς ὑπ' αὐτοῦ μετὰ πάσης παρρησίας. μὴ δυνάμενοι οὖν ἀντοφθαλμεῖν τῇ ἀληθείᾳ, 11 τότε ὑπέβαλον ἄνδρας λέγοντας, ὅτι ἀκηκόαμεν αὐτοῦ λαλοῦντος ῥήματα βλασφημίας εἰς Μωϋσῆν καὶ τὸν θεόν, 12 συνεκίνησάν τε τὸν λαὸν καὶ τοὺς πρεσβυτέρους καὶ τοὺς γραμματεῖς, καὶ ἐπιστάντες συνήρπασαν αὐτὸν καὶ ἤγαγον εἰς τὸ συνέδριον, 13 καὶ ἔστησαν μάρτυρας ψευδεῖς κατὰ αὐτοῦ, λέγοντας· „Ὁ ἄνθρωπος οὗτος οὐ παύεται ῥήματα λαλῶν κατὰ τοῦ τόπου τοῦ ἁγίου καὶ τοῦ νόμου· 14 ἀκηκόαμεν γὰρ αὐτοῦ λέγοντος, ὅτι Ἰησοῦς ὁ Ναζωραῖος οὗτος καταλύσει τὸν τόπον τοῦτον καὶ ἀλλάξει τὰ ἔθη ἃ παρέδωκεν ἡμῖν Μωϋσῆς“. 15 ἠτένιζον δὲ αὐτῷ πάντες οἱ καθήμενοι ἐν τῷ συνεδρίῳ, καὶ εἶδον τὸ πρόσωπον αὐτοῦ ὡσεὶ πρόσωπον ἀγγέλου ἑστῶτος ἐν μέσῳ αὐτῶν. 1 καὶ ἠρώτησεν ὁ ἀρχιερεὺς τὸν Στέφανον, εἰ ἄρα ταῦτα οὕτως ἔχοι. 2 ὁ δὲ ἀπεκρίθη· „Ἄνδρες ἀδελφοὶ καὶ πατέρες, ἀκούσατε. ὁ θεὸς τῆς δόξης ὤφθη τῷ πατρὶ ἡμῶν Ἀβραάμ, [ὄντι ἐν τῇ Μεσοποταμίᾳ ἐν Χαρράν, μετὰ τὸ ἀποθανεῖν τὸν πατέρα αὐτοῦ,] 3 καὶ εἶπεν πρὸς αὐτόν· „Ἔξελθε ἀπὸ τῆς γῆς σου καὶ τῆς συγγενείας σου, καὶ δεῦρο εἰς τὴν γῆν ἣν ἄν σοι δείξω“, 4 καὶ μετῴκισεν αὐτὸν εἰς τὴν γῆν ταύτην, εἰς ἣν ὑμεῖς νῦν κατοικεῖτε, καὶ οἱ πατέρες ὑμῶν πρὸ ὑμῶν. 5 καὶ οὐκ ἔδωκεν αὐτῷ κληρονομίαν ἐν αὐτῇ οὐδὲ βῆμα ποδός, ἀλλ' ἐπηγγείλατο δοῦναι αὐτῷ εἰς κατάσχεσιν αὐτὴν καὶ τῷ σπέρματι αὐτοῦ μετ' αὐτόν, οὐκ ὄντος

1 Df | 2 DEf | *τ. ἁγ.* DEfgp | 2—5 Dsfw (sim. E) | 5 *τότε οὖν μὴ δ. . . ἀλ., ὑπ.* sec. f | *ὅτι* om. f | 8 *καὶ* prius om. f | 9 D | Df | 10 *ῥ.* h. l. Df | 12 *γὰρ*] *δὲ* f | *οὗτος* om. f | 12 sq. *templum is*[*tum et*] *consuet. istam mut.* f | 14 D (hab. *καὶ* ante *ἠτέν.* ut α) | D pro *καθεζόμ.* | 15 D | 16 Df (qui *ang. dei*) | 16 sq. *et interrogavit sac.* f (D ut α) | *τ. Στ.* add. DEgpwf | *ἄρα* add. DEHP | *τοῦτο* D | 18 *haberent* = *ἔχοι* fp (D *-ει* ut α) | *respondit* f | 19 in *δόξης* defic. f | 20—23 ita p[1] pro lectione ceterorum male interpolata; sed et. *ὄντι . . αὐτοῦ* cum Iren. seclusi, v. praef. | 21 D[1]g pro *ἐκ* (Ir.) | 23 *et inde* p[1], *καὶ* Iren. et (post interpol. *τότε Ἀ. ἐξελθὼν ἐκ γῆς Χαλδαίων καὶ κατῴκησεν ἐν Χαρρὰν κἀκεῖ* [*-θε* add. [b]] *ἦν μετὰ τὸ ἀποθ. τὸν πατέρα αὐτοῦ*) D | *μετῴκησεν* D | 24 sq. D (*ἡμῶν* bis) s (cf. E August.); delevi *οἱ* ante *πρό* coll. 27 | 26 *ἀλλ'* pro *καὶ* Dgv Iren. (non pw)

αὐτῷ τέκνου. 6 *ἐλάλησεν δὲ οὕτως ὁ θεὸς πρὸς αὐτόν, ὅτι ἔσται τὸ σπέρμα αὐτοῦ πάροικον ἐν γῇ ἀλλοτρίᾳ, καὶ δουλώσουσιν αὐτοὺς καὶ κακώσουσιν ἔτη τετρακόσια·* 7 *„καὶ τὸ ἔθνος ᾧ ἂν δουλεύσουσιν κρινῶ ἐγώ", εἶπεν ὁ θεός, „καὶ*
5 *μετὰ ταῦτα ἐξελεύσονται καὶ λατρεύσουσίν μοι ἐν τῷ τόπῳ τούτῳ".* 8 *καὶ ἔδωκεν αὐτῷ διαθήκην περιτομῆς· καὶ οὕτως ἐγέννησεν τὸν Ἰσὰκ καὶ περιέτεμεν αὐτὸν τῇ ἡμέρᾳ τῇ ὀγδόῃ, καὶ Ἰσὰκ τὸν Ἰακώβ, καὶ Ἰακὼβ τοὺς δώδεκα πατριάρχας.* 9 *καὶ οἱ πατριάρχαι ζηλώσαντες τὸν Ἰωσὴφ ἀπέδοντο εἰς*
10 *Αἴγυπτον, καὶ ἦν ὁ θεὸς μετ' αὐτοῦ,* 10 *καὶ ἐξείλατο αὐτὸν ἐκ πασῶν τῶν θλίψεων αὐτοῦ, καὶ ἔδωκεν χάριν αὐτῷ καὶ σοφίαν ἐναντίον Φαραὼ βασιλέως Αἰγύπτου, καὶ κατέστησεν αὐτὸν ἡγούμενον ἐπ' Αἴγυπτον καὶ ὅλον τὸν οἶκον αὐτοῦ.* 11 *ἦλθεν δὲ λιμὸς ἐφ' ὅλην τὴν γῆν Αἰγύπτου καὶ Χαναάν,*
15 *καὶ θλῖψις μεγάλη, καὶ οὐχ εὕρισκον χορτάσματα οἱ πατέρες ἡμῶν.* 12 *ἀκούσας οὖν Ἰακὼβ ὄντα σῖτα εἰς Αἴγυπτον, ἐξαπέστειλεν τοὺς πατέρας ἡμῶν πρῶτον·* 13 *καὶ ἐπὶ τῷ δευτέρῳ ἀνεγνωρίσθη Ἰωσὴφ τοῖς ἀδελφοῖς αὐτοῦ, καὶ φανερὸν ἐγενήθη τῷ Φαραὼ τὸ γένος αὐτοῦ.* 14 *ἀποστείλας δὲ Ἰω-*
20 *σὴφ μετεκαλέσατο Ἰακὼβ τὸν πατέρα αὐτοῦ καὶ πᾶσαν τὴν συγγένειαν.* 15 *ἐν ἑβδομήκοντα καὶ πέντε ψυχαῖς κατέβη Ἰακὼβ εἰς Αἴγυπτον, καὶ ἐτελεύτησεν αὐτός τε καὶ οἱ πατέρες ἡμῶν,* 17 *καὶ μετήχθησαν εἰς Συχέμ, καὶ ἐτέθησαν ἐν τῷ μνήματι ᾧ ὠνήσατο Ἀβραὰμ τιμῆς ἀργυρίου παρὰ τῶν*
25 *υἱῶν Ἑμμὼρ ἐν Συχέμ.* 17 *καθὼς δὲ ἤγγιζεν ὁ χρόνος τῆς ἐπαγγελίας ἧς ἐπηγγείλατο ὁ θεὸς τῷ Ἀβραάμ, ηὔξησεν ὁ λαὸς καὶ ἐπληθύνθη ἐν Αἰγύπτῳ,* 18 *ἄχρι οὗ ἀνέστη βασιλεὺς ἕτερος, ὃς οὐκ ἐμνήσθη τοῦ Ἰωσήφ,* 19 *καὶ κατασοφισάμενος τὸ γένος ἡμῶν ἐκάκωσεν τοὺς πατέρας, τοῦ ποιεῖν*

1 *πρ. α.* add. D Iren. | 3 *αὐτοὺς* pro *αὐτὸ* Dgv (non p) | 4 *δουλεύσουσιν* pro *-ωσιν* ACD Iren. | *κύριος* gpw Iren. pro *θεὸς* | 7 sq. *Ἰσὰκ* D, v. ad III, 13 | 8 *ὁ Ἰσ.* D cum HP (*ὁ Ἰακ.* D^b^HP) | 11 D pro *αὐτῷ χ.* | 14 *ὅλης τῆς Αἰγ.* D (*ὅλην τὴν γ. Αἰγύπτου* et. gp) | 16 Dg pro *δὲ* | *σιτία* DℵBC al., *σῖτα* HP | *ἐν Αἰγύπτῳ* DHP | 17 pro *ἐν* D | 19 D pro *ἐγένετο* | *αὐτοῦ*] *τοῦ Ἰωσ.* DHPg | 21 *αὐτοῦ* post *συγγ.* rep. DE al. | *καὶ* add. Dg | *ψ.* post *πέντε* DHg, cf. Deuter. X, 22 | recte *κατέβη* Dg sine *δὲ* vel *καί*, cf. Deut. l. c. | 22 *τε* add. D | 23 recte D *μετήχθ.* pro *μετετέθ.* | 25 *ἐν*] *τοῦ* DHv | 26 DEs pro *ὡμολόγησεν* vel *ὤμοσεν* | 28 DEg pro *ἤδει τὸν* | *καὶ* D pro *οὗτος*

τὰ βρέφη ἔκθετα αὐτῶν εἰς τὸ μὴ ζωογονεῖσθαι. 20 ἐν ᾧ
καιρῷ ἐγεννήθη Μωϋσῆς, καὶ ἦν ἀστεῖος τῷ θεῷ· ὃς ἀνε-
τράφη μῆνας τρεῖς ἐν τῷ οἴκῳ τοῦ πατρός· 21 ἐκτεθέντος
δὲ αὐτοῦ παρὰ τὸν ποταμόν, ἀνείλατο αὐτὸν ἡ θυγάτηρ
Φαραώ, καὶ ἀνεθρέψατο ἑαυτῇ εἰς υἱόν. 22 καὶ ἐπαιδεύθη 5
Μωϋσῆς πᾶσαν τὴν σοφίαν Αἰγυπτίων, ἦν τε δυνατὸς ἐν λόγοις
καὶ ἔργοις αὐτοῦ. 23 ὡς δὲ ἐπληροῦτο †τεσσερακονταετὴς
αὐτῷ χρόνος, ἀνέβη ἐπὶ τὴν καρδίαν αὐτοῦ ἐπισκέψασθαι
τοὺς ἀδελφοὺς αὐτοῦ, τοὺς υἱοὺς Ἰσραήλ. 24 καὶ ἰδών τινα
ἀδικούμενον ἐκ τοῦ γένους αὐτοῦ, ἠμύνατο καὶ ἐποίησεν 10
ἐκδίκησιν τῷ καταπονουμένῳ πατάξας τὸν Αἰγύπτιον. 25 ἐνό-
μιζεν δὲ συνιέναι τοὺς ἀδελφούς, ὅτι ὁ θεὸς διὰ χειρὸς αὐ-
τοῦ δίδωσιν σωτηρίαν αὐτοῖς· οἱ δὲ οὐ συνῆκαν. 26 τῇ τε
ἐπιούσῃ ἡμέρᾳ ὤφθη αὐτοῖς μαχομένοις, καὶ συνήλλασσεν
αὐτοὺς εἰς εἰρήνην, εἰπών· „Τί ποιεῖτε, ἄνδρες ἀδελφοί; 15
∧ ἵνα τί ἀδικεῖτε ἀλλήλους“; 27 ὁ δὲ ἀδικῶν τὸν πλησίον
ἀπώσατο αὐτόν, εἴπας· „Τίς σε κατέστησεν ἄρχοντα καὶ δι-
καστὴν ἐφ' ἡμᾶς; 28 μὴ ἀνελεῖν με σὺ θέλεις, ὃν τρόπον
ἀνεῖλες ἐχθὲς τὸν Αἰγύπτιον“; 29 καὶ οὕτως ἐφυγάδευ-
σεν Μωϋσῆν ἐν τῷ λόγῳ τούτῳ, καὶ ἐγένετο πάροικος ἐν γῇ 20
Μαδιάμ, οὗ ἐγέννησεν υἱοὺς δύο. 30 καὶ μετὰ ταῦτα
πλησθέντων αὐτῷ ἐτῶν τεσσεράκοντα, ὤφθη αὐτῷ ἐν τῇ
ἐρήμῳ τοῦ ὄρους Σινᾶ ἄγγελος ἐν φλογὶ πυρὸς βάτου. 31 ὁ δὲ
Μωϋσῆς ἰδὼν ἐθαύμαζεν τὸ ὅραμα· καὶ προσερχομένου αὐ-
τοῦ κατανοῆσαι, ὁ κύριος εἶπεν αὐτῷ λέγων· 32 „Ἐγὼ 25
ὁ θεὸς τῶν πατέρων σου, ὁ θεὸς Ἀβραὰμ [καὶ] θεὸς Ἰσὰκ καὶ
θεὸς Ἰακώβ“. ἔντρομος δὲ γενόμενος Μωϋσῆς οὐκ ἐτόλμα

1 τὰ βρ. post ἔκθ. DEHPvgp | 3 αὐτοῦ post πατρός add. DE Prom. (I, 33) al. | 4 add. DEs (εἰς pro παρὰ Es) | 5 καὶ om. D | αὐτὸν post ἀν. om. D[1]s | αυτη D | 6 D (Clem.) pro (ἐν) πάσῃ σοφίᾳ | τε DE pro δὲ, recte puto (*et erat* gv) | 8 αὐτῷ h. l. D | 10 add. D (om. αὐτοῦ) Es (ante ἀδικ.) g | ημυνετο D[1] | 11 post Αἰγ. add. D καὶ ἔκρυψεν αὐτὸν ἐν τῇ ἄμμῳ, = Exod. II, 12 (sim. w al.) | 12 ἀδ. αὐτοῦ DEHPp (non vg), w ἀ. α. τοὺς υἱοὺς Ἰσρ. | 14 D post μαχ. add. καὶ εἶδεν αὐτοὺς ἀδικοῦντας, quae est v. l. ad ὤφθη α. μαχ. (*vidit . . secum altercantes* Prom. I, 34) | 15 pro ἄ., ἀδ. ἐστε D Prom. | 16 εἰς ἀλλ. D[1] | 17 καὶ] ἢ gpProm. | 18 ἡμᾶς pro ἡμῶν DE (pars codd. Exod. II, 14) | 19 D οὕτως καὶ (sed καὶ ο. d) ἐφ. Μ-ῆς D, ἐφυγάδ. δὲ Μ-ῆν E, *fugatus est autem M.* g, *effugavit autem se M.* p | 21 sq. D[1] (corr. [b]) pro πληρωθέντων | 22 ἔτη D[1] (corr. [b]) | 23 ἄγγ. κυρίου DEHPpw al. | 24 καὶ πρ. pro πρ. δὲ Dg | 25 καὶ κατ. D[1] | D pro ἐγένετο φωνὴ κυρίου | 26 καὶ θεὸς

κατανοῆσαι. 33 *καὶ ἐγένετο φωνὴ πρὸς αὐτόν· „Λῦσον τὸ ὑπόδημα τῶν ποδῶν σου· ὁ γὰρ τόπος οὗ ἕστηκας γῆ ἁγία ἐστίν.* 34 *ἰδὼν εἶδον τὴν κάκωσιν τοῦ λαοῦ μου τοῦ ἐν Αἰγύπτῳ, καὶ τοῦ στεναγμοῦ αὐτοῦ ἀκήκοα, καὶ κατέβην*
5 *ἐξελέσθαι αὐτούς· καὶ νῦν δεῦρο ἀποστείλω σε εἰς Αἴγυπτον“.*
35 *τοῦτον τὸν Μωϋσῆν, ὃν ἠρνήσαντο εἰπόντες· „Τίς σε κατέστησεν ἄρχοντα καὶ δικαστήν“; τοῦτον ὁ θεὸς καὶ ἄρχοντα καὶ λυτρωτὴν ἀπέστειλεν σὺν χειρὶ ἀγγέλου τοῦ ὀφθέντος αὐτῷ ἐν τῇ βάτῳ.* 36 *οὗτος ἐξήγαγεν αὐτοὺς ποιήσας*
10 *τέρατα καὶ σημεῖα ἐν γῇ Αἰγύπτου καὶ ἐν ἐρυθρᾷ θαλάσσῃ καὶ ἐν τῇ ἐρήμῳ ἔτη τεσσεράκοντα.* 37 *οὗτός ἐστιν ὁ Μωϋσῆς ὁ εἴπας τοῖς υἱοῖς Ἰσραήλ· „Προφήτην ὑμῖν ἀναστήσει ὁ θεὸς ἐκ τῶν ἀδελφῶν ὑμῶν ὡς ἐμέ“.* 38 *οὗτός ἐστιν ὁ γενόμενος ἐν τῇ ἐκκλησίᾳ ἐν τῇ ἐρήμῳ μετὰ τοῦ [ἀγγέλου τοῦ]*
15 *λαλοῦντος αὐτῷ ἐν τῷ ὄρει Σινᾶ καὶ τῶν πατέρων ἡμῶν, ὃς ἐδέξατο λόγια ζῶντα δοῦναι ἡμῖν,* 39 *ᾧ οὐκ ἠθέλησαν ὑπήκοοι γενέσθαι οἱ πατέρες ἡμῶν, ἀλλ' ἀπώσαντο καὶ ἀπεστράφησαν ἐν ταῖς καρδίαις εἰς Αἴγυπτον,* 40 *εἴπαντες τῷ Ἀαρών· „Ποίησον ἡμῖν θεούς, οἳ προπορεύσονται ἡμῶν·*
20 *ὁ γὰρ Μωϋσῆς οὗτος, ὃς ἐξήγαγεν ἡμᾶς ἐκ γῆς Αἰγύπτου, οὐκ οἴδαμεν, τί ἐγένετο αὐτῷ“.* 41 *καὶ ἐμοσχοποίησαν ἐν ταῖς ἡμέραις ἐκείναις, καὶ ἀνήγαγον θυσίαν τῷ εἰδώλῳ, καὶ ηὐφραίνοντο ἐν τοῖς ἔργοις τῶν χειρῶν αὐτῶν.* 42 *ἔστρεψεν δὲ ὁ θεός, καὶ παρέδωκεν αὐτοὺς λατρεύειν τῇ στρατιᾷ τοῦ*
25 *οὐρανοῦ, καθὼς γέγραπται ἐν βίβλῳ προφητῶν· „Μὴ σφάγια καὶ θυσίας προσηνέγκατέ μοι ἔτη τεσσεράκοντα ἐν τῇ ἐρήμῳ, οἶκος Ἰσραήλ;* 43 *καὶ ἀνελάβετε τὴν σκηνὴν τοῦ*

Ἰσὰκ (v. ad v. 8) *κ. θ. Ἰακ.* Dvp (it., sed bis *ὁ θ.* EHP), sine priore *καὶ* g (w *Abr. Is. et Iac.*), cf. III, 13

2 *οὗ* pro *ἐφ'* (*ἐν*) *ᾧ* D[1] (corr. [b]) | 3 *καὶ ἰδὼν γὰρ ιδον* D[1] | *μου* om. D[1] | 4 D pro *ἤκουσα* | 7 *καὶ*] *ἢ* gp ut p. 21, 17 | *δικ.*] *ἐφ' ἡμῶν* (*ἡμᾶς* E) add. ℵCDEsgp | 8 *ἀπέσταλκεν* D c. ℵABE | 9 *ὁ ποιήσας* D[1] | 10 *τῇ* (*γῇ*) *Αἰγύπτῳ* falso plerique (non Dvgp) | 11 *ὁ* om. DH | 13 *ὡσεὶ* D[1] | post *ἐμέ* add. CDEgpw al. *αὐτοῦ ἀκούσεσθε* cf. III, 22. LXX | 14 *τοῦ* alt. om. D[1], *ἀγγ. τοῦ* om. g, recte ut vid.; cf. v. 44 | 16 *ᾧ*] *ὅτι* D | 17 D pro *ἐστρ.* (*aversi sunt* v, non p) | 18 *ἐν* om. DEHPv Iren. (non p) | *αὐτῶν* post *κ.* om. D, *nostris* g | 20 *οὗτος* om. p[1] Iren. | 21 *γέγονεν* DEHP (Exod. XXXII, 1) | 22 *ἀπήγοντο* D[1], *γα* superscr. ead. | 23 f (cuius incipit nov. frg.) *tunc itaque* (*τότε οὖν*) *pervertit illos* (*αὐτοὺς* add. C sah) | 25 *τῶν* ante *πρ.* om. D, cf. I, 20. Luc. XX, 42

Μολὸχ καὶ τὸ ἄστρον τοῦ θεοῦ ὑμῶν Ῥεμφάμ, τοὺς τύπους
οὓς ἐποιήσατε προσκυνεῖν αὐτοῖς· καὶ μετοικιῶ ὑμᾶς ἐπὶ τὰ
μέρη Βαβυλῶνος“. 44 ἡ σκηνὴ τοῦ μαρτυρίου ἦν τοῖς πα-
τράσιν ἡμῶν ἐν τῇ ἐρήμῳ, καθὼς διετάξατο ὁ λαλῶν τῷ
Μωϋσῇ ποιῆσαι αὐτὴν κατὰ τὸν τύπον ὃν ἑωράκει, 45 ἣν 5
καὶ εἰσήγαγον διαδεξάμενοι οἱ πατέρες ἡμῶν μετὰ Ἰησοῦ ἐν
τῇ κατασχέσει τῶν ἐθνῶν, ὧν ἐξῶσεν ὁ θεὸς ἀπὸ προσώπου
τῶν πατέρων ἡμῶν, ἕως τῶν ἡμερῶν Δαυίδ, 46 ὃς εὗρεν
χάριν ἐνώπιον τοῦ θεοῦ, καὶ ᾐτήσατο σκήνωμα εὑρεῖν τῷ
θεῷ Ἰακώβ. 47 Σολομὼν δὲ οἰκοδόμησεν αὐτῷ οἶκον. 48 ὁ δὲ 10
ὕψιστος οὐ κατοικεῖ ἐν χειροποιήτοις, ὡς ὁ προφήτης λέγει·
49 „Ὁ οὐρανός μοί ἐστιν θρόνος, ἡ δὲ γῆ ὑποπόδιον
τῶν ποδῶν μου· ποῖον οἶκον οἰκοδομήσετέ μοι (λέγει κύ-
ριος), ἢ ποῖος τόπος τῆς καταπαύσεώς μου ἐστίν; 50 οὐχὶ ἡ
χείρ μου ἐποίησεν πάντα ταῦτα“; 51 σκληροτράχηλοι καὶ 15
ἀπερίτμητοι καρδίᾳ καὶ τοῖς ὠσίν, ὑμεῖς ἀεὶ τῷ πνεύματι
τῷ ἁγίῳ ἀντιπίπτετε, καθὼς οἱ πατέρες ὑμῶν καὶ ὑμεῖς.
52 τίνα τῶν προφητῶν οὐκ ἐδίωξαν ἐκεῖνοι καὶ ἀπέκτειναν
αὐτούς, τοὺς προκαταγγέλλοντας περὶ τῆς ἐλεύσεως τοῦ δι-
καίου, οὗ νῦν ὑμεῖς προδόται καὶ φονεῖς ἐγένεσθε· 53 οἵτινες 20
ἐλάβετε τὸν νόμον εἰς διαταγὰς ἀγγέλων, καὶ οὐκ ἐφυλάξατε“.
54 Ἀκούοντες δὲ ταῦτα διεπρίοντο ταῖς καρδίαις αὐτῶν καὶ
ἔβρυχον τοὺς ὀδόντας ἐπ' αὐτόν. 55 ὁ δὲ ὑπάρχων ἐν
πνεύματι ἁγίῳ, ἀτενίσας εἰς τὸν οὐρανὸν εἶδεν δόξαν θεοῦ

1 *ὑμῶν* om. BD Iren. | *Ῥεμφάμ* Dfgpwv Iren.; multum variant cet. testes | *καὶ τοὺς* f | 2 recte *ἐπὶ τὰ μέρη* D^1gp pro *ἐπέκεινα* (c. LXX) | 3 *καὶ ἡ* f, *κ. ἦν ἡ* p^1 | *ἦν ἐν* D^1E (*cum* add. vp^2, sine praep. fgp^1) | *πατερεσιν* D^1 | 4 *ὁ* om. Dg | 5 *Μωϋσεῖ* D (*-σι* D^1) | *τὸ παράτυπον* ut vid. D^1 | *ἑόρακεν* (*ἑώρ.*) DEHf | 6 *Ἰησοῦν* D^1 | 8 *ὑμῶν* D | 9 pro *εὑρ. σκ.* Df | 10 *οἴκῳ* (ex 47) pro *θεῷ* D c. ℵ[1]BH, *in deo* f | *οἰκοδ.* pro *ᾠκ.* B^1D | 10sq. pro *ἀλλ' οὐχ ὁ ὕψ. ἐν χ. κ.* Df(g) | 11 D pro *καθὼς* | 12 *μου* D^1 (non f) | *ἐ.* add. D (post *θρ.* fpv) | *ἡ δὲ* D al., *καὶ ἡ* Bf | 14 pro *τίς* Df (LXX) | *ἐ.* add. Dp^2(f) | 14sq. *οὐχὶ . . ταῦτα* om. f | 15 *ὦ σκλ.* s | *duricordes* f | 16 *καρδίαις* ACD (*ταῖς κ.* ℵ) vp, sed *corde* et. fg | 17 *contradixistis* = *ἀντείπατε* f, *restitistis* gpw | D pro *ὡς* | *ὡς καὶ* w | *καὶ ὑμ.* om. fg (non Lucif.) D^2 (*π. καὶ ὑμῶν* D^1) | 18 pro *οἱ πατέρες ὑμῶν* Df | 19 *αὐτούς* add. D(vp) | *-έλλοντας* pro *-είλαντας* Dgpv | *τῆς* om. D^1 | 21 *nec om[nino? s]ervastis* f | 22 *ἀκούσαντες* male D (f Lucif.) | *ταῦτα*] *αὐτοῦ* D, om. ℵ fort. recte | *ἐν ταῖς* fg | 22sq. *καὶ ἔβρ. τε* D^1 | 23 *ὁ δὲ ὑπ.* pro *ὑπ. δὲ* fgp | 23sq. pro *πλήρης πνεύματος ἁγίου* f

καὶ Ἰησοῦν τὸν κύριον ἐκ δεξιῶν τῆς δυνάμεως ἑστῶτα, 56 καὶ εἶπεν· „Ἰδοὺ θεωρῶ τοὺς οὐρανοὺς διηνοιγμένους καὶ τὸν υἱὸν τοῦ ἀνθρώπου ἐκ δεξιῶν ἑστῶτα τοῦ θεοῦ“. 57 κράξαντες δὲ φωνῇ μεγάλῃ συνέσχαν τὰ ὦτα αὐτῶν καὶ 5 ὥρμησαν ὁμοθυμαδὸν ἐπ' αὐτόν, 58 καὶ ἐκβαλόντες ἔξω τῆς πόλεως ἐλιθοβόλουν αὐτόν. καὶ οἱ μάρτυρες ἀπέθεντο τὰ ἱμάτια αὐτῶν παρὰ τοὺς πόδας νεανίου, καλουμένου Σαύλου, 59 καὶ ἐλιθοβόλουν τὸν Στέφανον, ἐπικαλούμενον καὶ λέγοντα· „Κύριε Ἰησοῦ, δέξαι τὸ πνεῦμά μου“. 60 θεὶς δὲ 10 τὰ γόνατα ἔκραξεν φωνῇ μεγάλῃ λέγων· „Κύριε, μὴ στήσῃς αὐτοῖς ταύτην τὴν ἁμαρτίαν“. καὶ τοῦτο εἰπὼν ἐκοιμήθη.

8 1 Σαῦλος δὲ ἦν συνευδοκῶν τῇ ἀναιρέσει αὐτοῦ. ἐγένετο δὲ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ διωγμὸς μέγας καὶ θλῖψις ἐπὶ τὴν ἐκκλησίαν τὴν ἐν Ἱεροσολύμοις· πάντες δὲ διεσπάρησαν κατὰ 15 τὰς χώρας τῆς Ἰουδαίας καὶ Σαμαρείας, πλὴν τῶν ἀποστόλων, οἳ ἔμειναν ἐν Ἰερουσαλήμ. 2 συνεκόμισαν δὲ τὸν Στέφανον ἄνδρες εὐλαβεῖς, καὶ ἐποίησαν κοπετὸν μέγαν ἐπ' αὐτῷ. 3 ὁ δὲ Σαῦλος ἐλυμαίνετο τὴν ἐκκλησίαν, κατὰ τοὺς οἴκους εἰσπορευόμενος, σύρων τε ἄνδρας καὶ γυναῖκας παρε- 20 δίδου εἰς φυλακήν.

4 Οἱ μὲν οὖν διασπαρέντες ἐπορεύοντο εὐαγγελιζόμενοι τὸν λόγον κατὰ τὰς πόλεις καὶ κώμας τῆς Ἰουδαίας· 5 Φίλιππος δὲ κατελθὼν εἰς †Σαμάρειαν τὴν πόλιν ἐκήρυσσεν αὐτοῖς τὸν χριστόν. 6 προσεῖχον δὲ οἱ ὄχλοι 25 τοῖς λεγομένοις ὑπὸ τοῦ Φιλίππου ὁμοθυμαδόν, ἐν τῷ

1 add. τ. κ. Dfp | *virtutis dei* pw, τῆς δυν. (om. τ. θεοῦ) Const. apost. p. 196 L., recte ut vid. (*et Iesum ad dexteram* Iren. p. 490) | ἑστ. h. l. Df | 2 ηνεωγμ. D[1], ἀν. D[2]EHP | 3 *virtutis dei* w | 4 *tunc populus exclamavit* f | 6 αὐτόν add. Dfps sah | 6 *falsi testes* gp | τινὸς post ν. add. Dgp, cf. VIII, 27 | καλ.] *nomine* p, *cuius [nome]n vocatur* f | 9 δὲ om. D[1] (add. [a]), τε g, καὶ θ. f | 10 φωνὴν μεγάλην D[1] | λ. add. Dgv (non f) | κ. Ἰησοῦ s | 11 ἐκ.] *in domino* add. pwv | 13 add. D (θλ. καὶ δ. μέγ. f, sim. sah) | 13 sq. τῇ ἐκκλησίᾳ ut vid. f | 15 τῆς om. D[1] | 16 add. D[1]fg Prov. August. sah | συνκομισαντες τον D[1] (συνεκόμισάν τε D[2]) | 17 in ἐποί. defic. f | 18 D pro Σ. δὲ | 19 παρεδιδους D[1] | 21 gpw al. (*ibant*) pro διῆλθον | 22 λ. τοῦ θεοῦ Evp[2]w (non g) add. pw al. lat. (*circa* [s. *per*] *civitates et castella Iud.*) | 23 *Samaria in civitate* p[1] pro εἰς (τὴν) πόλιν τῆς Σ. (om. τὴν CDE al.) | 24 ὡς δὲ ἤκουον παν (*omnis turbae* d) οἱ ὄ. προσεῖχον τοῖς D[1] corrupte; alia igitur fuit lectio R | 25 τοῦ om. D[1] | ὁμοθ.] ....οντ. D[1]

ἀκούειν αὐτοῦ καὶ βλέπειν τὰ σημεῖα ἃ ἐποίει· 7 πολλοὶ γὰρ τῶν ἐχόντων πνεύματα ἀκάθαρτα, ⟨ἃ⟩ βοῶντα φωνῇ μεγάλῃ ἐξήρχοντο, πολλοὶ δὲ παραλελυμένοι καὶ χωλοὶ ἐθεραπεύθησαν· 8 χαρά τε μεγάλη ἐγένετο ἐν τῇ πόλει ἐκείνῃ. 9 ἀνὴρ δέ τις ὀνόματι Σίμων προϋπάρχων ἐν τῇ πόλει μαγεύων ∧ ἐξίστανεν τὸ ἔθνος τῆς Σαμαρείας, λέγων εἶναί τινα ἑαυτόν, 10 ᾧ προσεῖχον πάντες ἀπὸ μικροῦ ἕως μεγάλου λέγοντες· „Οὗτός ἐστιν ἡ δύναμις [τοῦ θεοῦ] ἡ καλουμένη μεγάλη“. 11 προσεῖχον δὲ αὐτῷ διὰ τὸ ἱκανῷ χρόνῳ ταῖς μαγείαις ἐξεστακέναι αὐτούς. 12 ὅτε δὲ ἐπίστευσαν τῷ Φιλίππῳ εὐαγγελιζομένῳ περὶ τῆς βασιλείας τοῦ θεοῦ καὶ τοῦ ὀνόματος Ἰησοῦ χριστοῦ, ἐβαπτίζοντο ἄνδρες τε καὶ γυναῖκες. 13 ὁ δὲ Σίμων καὶ αὐτὸς ἐπίστευσεν, καὶ βαπτισθεὶς ἦν προσκαρτερῶν τῷ Φιλίππῳ, θεωρῶν τε σημεῖα καὶ δυνάμεις μεγάλας γινομένας ἐξίστατο. 14 ἀκούσαντες δὲ οἱ ἐν Ἰερουσαλὴμ ἀπόστολοι ὅτι δέδεκται ἡ Σαμάρεια τὸν λόγον τοῦ θεοῦ, ἀπέστειλαν πρὸς αὐτοὺς Πέτρον καὶ Ἰωάνην, 15 οἵτινες καταβάντες προσηύξαντο περὶ αὐτῶν, ὅπως λάβωσιν πνεῦμα ἅγιον· 16 οὐδέπω γὰρ ἦν ἐπὶ οὐδένα αὐτῶν ἐπιπεπτωκός, μόνον δὲ βεβαπτισμένοι ὑπῆρχον εἰς τὸ ὄνομα τοῦ κυρίου Ἰησοῦ. 17 τότε ἐπετίθουν τὰς χεῖρας ἐπ' αὐτούς, καὶ ἐλάμβανον πνεῦμα ἅγιον. 18 ἰδὼν δὲ ὁ Σίμων, ὅτι διὰ τῆς ἐπιθέσεως τῶν χειρῶν τῶν ἀποστόλων δίδοται τὸ πνεῦμα, προσήνεγκεν αὐτοῖς χρήματα, 19 παρακαλῶν καὶ λέγων· „Δότε κἀμοὶ τὴν ἐξουσίαν ταύτην, ἵνα κἀγὼ ᾧ ἂν ἐπιθῶ τὰς χεῖρας, λαμβάνῃ πνεῦμα ἅγιον“. 20 Πέτρος δὲ εἶπεν πρὸς αὐτόν· „Τὸ ἀργύριόν σου σὺν σοὶ εἴη εἰς ἀπώλειαν,

1 αὐτοὺς D c. cet. praet. ℵp | π[αρ]ὰ πολλοῖς D^{1}, ἀπὸ πολλοὶ D^{2} (*a multis* d), πολλῶν HP | 2 addidi ἃ | 3 ἐξ. ἐξ αὐτῶν s Sch. sah; *et sanabantur* pro ἐξ. p | ἐθεραπεύοντο D | 4 Dg Sch. pro ἐγ. δὲ πολλὴ χ. | 5 Dpv Ir. pro -ῆρχεν | 6 καὶ om. D^{1} (add. ^{b}) v | ἐξε[ιστανεν] ut vid. D^{1}(g) pro -ιστάνων (-ιστῶν D^{b} al.) | 7 post ἑ. delevi μέγαν (Valcken.), cum codd. Irenaei p. 237; cf. V, 35 | πάντες om. HP Iren., fort. recte | 8 τοῦ θεοῦ recte ut vid. om. p (non Ir., vid. tamen ap. eum p. 238) | καλουμένη om. HLP sah al., fort. recte | 14 ἦν καὶ D^{1} | 15 μεγάλα κ. δυν. E (cf. s) | ἐξειστανto D^{1}(ℵ^{1}C^{1}), i. e. -άνετο? | 16 D pro Ἱεροσολύμοις | 17 τ. θ. om. g | 19 D^{1} pro οὐδενὶ | 21 χριστοῦ add. D | 23 τ. πν. τὸ ἅγιον D al. (praet. ℵB sah Const. apost. 6, 7) | 24 προσήνεγκαν D^{1} | add Dgp | 25 μοι gp | add. p Const. apost. (D post ἐπιθῶ) | 27 τὸ et σου om. D^{1}

ὅτι τὴν δωρεὰν τοῦ θεοῦ ἐνόμισας διὰ χρημάτων κτᾶσθαι.
21 οὐκ ἔστιν σοι μερὶς οὐδὲ κλῆρος ἐν τῷ λόγῳ τούτῳ· ἡ
γὰρ καρδία σου οὐκ ἔστιν εὐθεῖα ἔναντι τοῦ θεοῦ. 22 με-
τανόησον οὖν ἀπὸ τῆς κακίας σου ταύτης, καὶ δεήθητι τοῦ
5 κυρίου, εἰ ἄρα ἀφεθήσεταί σοι ἡ ἐπίνοια τῆς καρδίας σου·
23 *ἐν γὰρ πικρίας χολῇ καὶ συνδέσμῳ ἀδικίας θεωρῶ σε
ὄντα". 24 ἀποκριθεὶς δὲ ὁ Σίμων εἶπεν πρὸς αὐτούς·
„Παρακαλῶ, δεήθητε ὑμεῖς περὶ ἐμοῦ πρὸς τὸν κύριον,
ὅπως μηδὲν ἐπέλθῃ μοι τούτων τῶν κακῶν ὧν εἰρήκατέ
10 μοι", *καὶ πολλὰ κλαίων οὐ διελίμπανεν.

25 Οἱ μὲν οὖν διαμαρτυράμενοι καὶ λαλήσαντες τὸν λόγον
τοῦ κυρίου ὑπέστρεφον εἰς Ἱεροσόλυμα, πολλάς τε κώμας
τῶν Σαμαριτῶν εὐηγγελίζοντο· 26 ἄγγελος δὲ κυρίου ἐλά-
λησεν πρὸς Φίλιππον λέγων· „Ἀναστὰς πορεύου κατὰ με-
15 σημβρίαν ἐπὶ τὴν ὁδὸν τὴν καταβαίνουσαν ἀπὸ Ἰερουσαλὴμ
εἰς Γάζαν· αὕτη ἐστὶν ἔρημος". 27 καὶ ἀναστὰς ἐπορεύθη.
καὶ ἰδοὺ ἀνὴρ Αἰθίοψ εὐνοῦχος δυνάστης Κανδάκης βασι-
λίσσης Αἰθιόπων, ὃς ἦν ἐπὶ πάσης τῆς γάζης αὐτῆς, ἐλη-
λύθει προσκυνήσων εἰς Ἰερουσαλήμ, 28 ἦν τε ὑποστρέφων,
20 καθήμενος ἐπὶ τοῦ ἅρματος καὶ ἀναγινώσκων τὸν προφήτην
Ἠσαΐαν. 29 εἶπεν δὲ τὸ πνεῦμα τῷ Φιλίππῳ· „Πρόσελθε
καὶ κολλήθητι τῷ ἅρματι τούτῳ". 30 προσδραμὼν δὲ ὁ
Φίλιππος ἤκουσεν αὐτοῦ ἀναγινώσκοντος Ἠσαΐαν τὸν προ-
φήτην, καὶ εἶπεν· „Ἆρά γε γινώσκεις ἃ ἀναγινώσκεις";
25 31 ὁ δὲ εἶπεν· „Πῶς γὰρ ἂν δυναίμην, ἐὰν μή τις ὁδη-
γήσῃ με"; παρεκάλεσέν τε τὸν Φίλιππον ἀναβάντα καθίσαι
σὺν αὐτῷ. 32 ἡ δὲ περιοχὴ τῆς γραφῆς, ἣν ἀνεγίνωσκεν,

2 μ. ἐν τ. λ. τ. οὐδὲ κλ. ἐν τῇ πίστει ταύτῃ Const. ap. (*in fide hac* p, *in hac f*. August. al. pro ἐν τ. λ. τ.) | 3 γὰρ om. D^1 | 6 ἐν scr.: ην D^1 (corr.^{b}) pro εἰς | D^1 (corr.^{b}) pro χολὴν π. κ. σύνδεσμον | θεωρῶ recte DE pro ὁρῶ | 7 πρ. α. add. D | 8 παρ. add. Dsg Const. | περὶ pro ὑπὲρ D^1 (corr.^{b}) | θεόν Dp, Syr. post. text., sed κύρ. s | 9 μοι pro ἐπ' ἐμὲ D | τ. τ. κ. add. D (κακῶν E post εἰρ.) | ον D^1 | 10 μοι add. D | add. Ds (sed pro καὶ D ος, om. s) | 12 τε] δε D | 14 D pro ἀνάστηθι καὶ (καὶ om. p^1) | πορεύθητι D, cf. 16 | 17 sq. βασ. τινὸς D^1 | 18 αὐτοῦ D^1 (αὐτῆς ὃς D^b) | 19 εἰς om. D^1 (ἐν D^{b}L) | 20 καὶ ante καθ. om. D^1 (add.^{b}) al. v (non p) | αὐτοῦ post ἅρμ. om. D^1 (add.^{b}) | καὶ om. Dp al. (*legensque* v) | pro ἀνεγίνωσκεν Dpv | 21 Ἰσ. D | post Φιλ. defic. D, usque ad X, 14 (d usque ad X, 4) | 22 καὶ πρ. sec. gp | 24 ἆρά γε] *si* g

ἦν αὕτη· „Ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείροντος αὐτὸν ἄφωνος, οὕτως οὐκ ἀνοίγει τὸ στόμα αὐτοῦ. 33 [ἐν τῇ ταπεινώσει ἡ κρίσις αὐτοῦ ἤρθη.] τὴν γενεὰν αὐτοῦ τίς διηγήσεται; ὅτι αἴρεται ἀπὸ τῆς γῆς ἡ ζωὴ αὐτοῦ“. 34 ἀποκριθεὶς δὲ ὁ εὐνοῦχος τῷ Φιλίππῳ εἶπεν· „Δέομαί σου, περὶ τίνος ὁ προφήτης λέγει τοῦτο; περὶ ἑαυτοῦ, ἢ περὶ ἑτέρου τινός“; 35 ἀνοίξας δὲ ὁ Φίλιππος τὸ στόμα αὐτοῦ καὶ ἀρξάμενος ἀπὸ τῆς γραφῆς ταύτης εὐηγγελίσατο αὐτῷ τὸν Ἰησοῦν. 36 ὡς δὲ ἐπορεύοντο κατὰ τὴν ὁδόν, ἦλθον ἐπί τι ὕδωρ, καί φησιν ὁ εὐνοῦχος· „Ἰδοὺ ὕδωρ· τί κωλύει με βαπτισθῆναι“; 37 εἶπεν δὲ [αὐτῷ] ὁ Φίλιππος· „Εἰ πιστεύεις ἐξ ὅλης τῆς καρδίας σου“; ἀποκριθεὶς δὲ εἶπεν· „Πιστεύω τὸν υἱὸν τοῦ θεοῦ εἶναι τὸν Ἰησοῦν“. 38 καὶ ἐκέλευσεν στῆναι τὸ ἅρμα, καὶ κατέβησαν ἀμφότεροι εἰς τὸ ὕδωρ, ὅ τε Φίλιππος καὶ ὁ εὐνοῦχος, καὶ ἐβάπτισεν αὐτόν. 39 ὅτε δὲ ἀνέβησαν ἐκ τοῦ ὕδατος, πνεῦμα κυρίου ἥρπασεν τὸν Φίλιππον ἀπ᾿ αὐτοῦ, καὶ οὐκ εἶδεν αὐτὸν οὐκέτι ὁ εὐνοῦχος· ἐπορεύετο γὰρ τὴν ὁδὸν αὐτοῦ χαίρων. 40 Φίλιππος δὲ εὑρέθη εἰς Ἄζωτον, καὶ διερχόμενος εὐηγγελίζετο τὰς πόλεις πάσας, ἕως τοῦ ἐλθεῖν αὐτὸν εἰς Καισάρειαν.

9 1 Ὁ δὲ Σαῦλος ἔτι ἐμπνέων ἀπειλῆς καὶ φόνου εἰς τοὺς μαθητὰς τοῦ κυρίου, προσελθὼν τῷ ἀρχιερεῖ 2 ᾐτήσατο παρ᾿ αὐτοῦ ἐπιστολὰς εἰς Δαμασκὸν πρὸς τὰς συναγωγάς, ὅπως ἐάν τινας εὕρῃ τῆς ὁδοῦ ὄντας, ἄνδρας τε καὶ γυναῖκας, δεδεμένους ἀγάγῃ εἰς Ἰερουσαλήμ. 3 ἐν δὲ τῷ πορεύεσθαι ἐγένετο αὐτὸν ἐγγίζειν τῇ Δαμασκῷ, ἐξαίφνης τε αὐτὸν περιήστραψεν φῶς ἐκ τοῦ οὐρανοῦ, 4 καὶ πεσὼν ἐπὶ τὴν γῆν μετὰ μεγάλης ἐκστάσεως, ἤκουσεν φωνὴν λέγου-

3 *αὐτοῦ* om. g | 3 sq. *ἐν . . ἤρθη* om. p Ir. cf. praef. | 4 *τὴν δὲ* EHLPgp | 9 *αὐτῷ τ. Ἰ.* om. p | 10 *εὐν.*] add. *Philippo* pw | 11 *τίς* gp | v. 37 add. Esgpwv Cypr. al. | *tunc dixit Ph.* Cypr. p, *αὐτῷ* om. et. gwv | 13 *σου* om. gwv | add. *ἔξεστι* spwv, *hoc* g, *σωθήσει* E | *et respondit* g, *et respondens ait* v, it. sed *eun. ait* w, *et respondet spado et* (*et* om. p[1]) *ait* p | 14 *esse dei* p[1], *π. εἰς τ. χρ. τὸν υἱὸν τοῦ θ.* E | *Ἰ. χρ.* plerique, *χρ.* om. vulg. quidam codic. et Iren. interpr. | 17 A[2]sp(w) *πν.* (*et sp.* w) *ἅγιον ἐπέπεσεν ἐπὶ τὸν εὐνοῦχον· ἄγγελος δὲ* (*et ang.* p) *κυρίου* | 18 *ab eo* add. sp | 18 sq. *ὁ εὐν. ἐπ. γάρ*] *eun. autem ibat* p | 25 *quoscunque inveniret huius viae* p (*ὄντας* om. et. gv sah; *huius* add. v Syri al.) | 29 add. p (*cum magna mentis alie-*

σαν αὐτῷ· „Σαούλ, Σαούλ, τί με διώκεις“; 5 εἶπεν δέ·
„Τίς εἶ, κύριε“; ὁ δέ· „Ἐγώ εἰμι Ἰησοῦς, ὃν σὺ διώκεις“.
ὁ δὲ τρέμων τε καὶ θαμβῶν ἐπὶ τῷ γεγονότι αὐτῷ
εἶπεν· „Κύριε, τί με θέλεις ποιῆσαι“; 6 καὶ ὁ κύ-
5 ριος πρὸς αὐτόν· „Ἀνάστηθι καὶ εἴσελθε εἰς τὴν πόλιν,
καὶ λαληθήσεταί σοι τί σε δεῖ ποιεῖν“. 7 οἱ δὲ ἄνδρες οἱ
συνοδεύοντες αὐτῷ εἱστήκεισαν ἐνεοί, ἀκούοντες μὲν τῆς
φωνῆς, μηδένα δὲ θεωροῦντες μεθ᾽ οὗ ἐλάλει. 8 ἔφη δὲ
πρὸς αὐτούς· „Ἐγείρατέ με ἀπὸ τῆς γῆς“. καὶ ἐγει-
10 ράντων αὐτόν, †οὐδὲν ἔβλεπεν ἀνεῳγμένων τῶν ὀφθαλ-
μῶν ⋀, χειραγωγοῦντές τε αὐτὸν εἰσήγαγον εἰς Δαμασκόν.
9 καὶ ἦν ἡμέρας τρεῖς μὴ βλέπων, καὶ οὐκ ἔφαγεν οὐδὲ
ἔπιεν. 10 Ἦν δέ τις μαθητὴς ἐν Δαμασκῷ ὀνόματι Ἀνανίας,
καὶ εἶπεν πρὸς αὐτὸν ἐν ὁράματι ὁ κύριος· „Ἀνανία“. ὁ δὲ
15 εἶπεν· „Ἰδοὺ ἐγώ, κύριε“. 11 ὁ δὲ κύριος πρὸς αὐτόν·
„Ἀναστὰς πορεύθητι ἐπὶ τὴν ῥύμην τὴν καλουμένην εὐ-
θεῖαν, καὶ ζήτησον ἐν οἰκίᾳ Ἰούδα Σαῦλον ὀνόματι γένει
Ταρσέα· ἰδοὺ γὰρ προσεύχεται“. 12. 13 ἀπεκρίθη δὲ Ἀνανίας·
„Κύριε, ἤκουσα ἐγὼ ἀπὸ πολλῶν περὶ τοῦ ἀνδρὸς τούτου,
20 ὅσα κακὰ τοῖς ἁγίοις σου ἐποίησεν ἐν Ἱερουσαλήμ· 14 καὶ
ὧδε ἔχει ἐξουσίαν παρὰ τῶν ἀρχιερέων δῆσαι πάντας τοὺς
ἐπικαλουμένους τὸ ὄνομά σου“. 15 εἶπεν δὲ πρὸς αὐτὸν ὁ

natione); f (cuius incip. novum frg.) . . . *vore* (vel *voro, vere*) ante *et audivit* hab., i. e. *pavore* | φ. ἐκ τοῦ οὐρανοῦ g

1 ad δι. add. Es σκληρόν σοι πρὸς κέντρα λακτίζειν, = XXII, 14 | εἶπεν δὲ] *qui respondit dicens* f, cf. XXII, 8 | 2 ὁ δὲ] add. κύριος πρὸς αὐτόν Ep, κ. εἶπεν HLP, εἶπεν g (*et dixit dom.* f) | ὁ Ναζωραῖος post Ἰ. add. ACEspf (*dominus I.* g), cf. XXII, 8 | post δι. add. fgpwv (edd. antiquae gr.) σκληρόν σοι (*vanum autem est tibi* f) πρὸς κ. λ. (vel sim.), cf. ad 1 | 3 sqq. ὁ δὲ κτἑ. add. edd. antiquae gr. (sine cod. graeco quod sciat Tschd.) sfpv Hilar. in ps. 53 Z. (ὁ δὲ om. edd. gr., *et* v, *qui* fp; τε καὶ om. f; τε . . αὐτῷ om. p; ἐπὶ . . αὐτῷ om. v; εἶπεν post κύριος add. s mg.) | 5 ἀναστὰς (ἀνάστα p) εἴσ. sec. gp | 6 καὶ ἐκεῖ fpv (XXII, 10) | 7 ἐνεοί om. g | 8 μεθ᾽ οὗ (*cum* f, *qui* p) ἐλ. add. fgp | ἔφη . . 9 γῆς f (*sed ait*) pw (hi *et ait*) | 9 sq. καὶ ἐγ. κτἑ. f | 11 αὐτοῦ om. f | χ. τε p (*et* fg) | 12 *et sic mansit per triduum* f | τρ. ἡμ. καὶ τρ. νύκτας w | μὴ] μηδὲν p | 14 sq. *qui respon[dit quis] e[s] dn̄e* f sec. Berger. | 15 *et dom.* f | 17 *nom. S.* f | γένει add. fp | 18 αὐτὸς πρ. gp, πρ. αὐτός f, *cum ipse oraret vidit* Sch. | v. 12 om. f | 19 ἐγὼ add. fp | 20 *quantas persecutiones fecerit sanctis* e. q. s. f | 20 sq. *et ecce accepit a sac. potestatem in nos* f | 22 *cui dixit* f

κύριος· „Πορεύου, ὅτι σκεῦος ἐκλογῆς ἐστίν μοι οὗτος, τοῦ
βαστάσαι τὸ ὄνομά μου ἐνώπιον ἐθνῶν τε καὶ βασιλέων
υἱῶν τε Ἰσραήλ· 16 ἐγὼ γὰρ ὑποδείξω αὐτῷ, ὅσα δεῖ αὐτὸν
παθεῖν ὑπὲρ τοῦ ὀνόματός μου“. 17 τότε ἐγερθεὶς Ἁνα-
νίας † ἀπῆλθεν καὶ εἰσῆλθεν εἰς τὴν οἰκίαν, καὶ ἐπέθηκεν 5
αὐτῷ τὴν χεῖρα ἐν τῷ ὀνόματι Ἰησοῦ χριστοῦ,
λέγων· „Σαοὺλ ἀδελφέ, ὁ κύριος ἀπέσταλκέν με, Ἰησοῦς
ὁ ὀφθείς σοι ἐν τῇ ὁδῷ ᾗ ἤρχου, ὅπως ἀναβλέψῃς καὶ
πλησθῇς πνεύματος ἁγίου“. 18 καὶ εὐθέως ἀπέπεσαν ἀπὸ
τῶν ὀφθαλμῶν αὐτοῦ ὡς λεπίδες, ἀνέβλεψέν τε, καὶ ἀναστὰς 10
ἐβαπτίσθη, 19 καὶ λαβὼν τροφὴν ἐνίσχυσεν. † ἡμέρας δὲ
πλείους καὶ μετὰ τῶν ἐν τῇ πόλει [Δαμασκῷ] μα-
θητῶν † ἐγένετο, 20 καὶ εἰσελθὼν εἰς τὰς συναγωγὰς
τῶν Ἰουδαίων ἐκήρυξεν μετὰ πάσης παρρησίας τὸν
Ἰησοῦν, ὅτι οὗτός ἐστιν ὁ χριστός, ὁ υἱὸς τοῦ θεοῦ. 15
21 ἐξίσταντο δὲ πάντες οἱ ἀκούοντες, καὶ ἔλεγον· „Οὐχ οὗτός
ἐστιν ὁ πορθήσας ἐν Ἰερουσαλὴμ πάντας τοὺς ἐπικαλουμέ-
νους τὸ ὄνομα τοῦτο; καὶ ὧδε εἰς τοῦτο ἐληλύθει, ἵνα δε-
δεμένους αὐτοὺς ἀγάγῃ ἐπὶ τοὺς ἀρχιερεῖς“. 22 Σαῦλος δὲ
μᾶλλον ἐνεδυναμοῦτο τῷ λόγῳ, καὶ συνέχυνεν Ἰουδαίους 20
τοὺς κατοικοῦντας ἐν Δαμασκῷ, συμβιβάζων ὅτι οὗτός ἐστιν
ὁ χριστός, εἰς ὃν εὐδόκησεν ὁ θεός. 23 ὡς δὲ ἐπλη-
ροῦντο ἡμέραι ἱκαναί, συνεβουλεύσαντο οἱ Ἰουδαῖοι ἀνελεῖν
αὐτόν· 24 ἐγνώσθη δὲ τῷ Σαύλῳ ἡ ἐπιβουλὴ αὐτῶν. παρε-
τηροῦντο δὲ καὶ τὰς πύλας ἡμέρας τε καὶ νυκτός, ὅπως αὐτὸν 25
ἀνέλωσιν· 25 λαβόντες δὲ αὐτὸν οἱ μαθηταὶ νυκτὸς διὰ
τοῦ τείχους καθῆκαν χαλάσαντες ἐν σπυρίδι. 26 παραγε-
νόμενος δὲ εἰς Ἰερουσαλὴμ ἐπείραζεν κολλᾶσθαι τοῖς μαθη-

1 οὗτος] *homo iste* f | 2 ἐν ἔθνεσιν κτἑ. sec. Iren. | 3 αὐτῷ] *ex ipso* add. Iren. | 4 παθεῖν h. l. fgw Iren. | τότε .. εἰσ. M min. 180 p (hic om. ἀπ. καὶ) f (om. καὶ εἰσ.; [*et*] pro τότε | 5—7 f | 7 Ἰησ. post κύρ. p, om. HLP sah | 10 τε παραχρῆμα C[2]EL, *et continuo* [*vidit*] f, *et v. momento* p | 11sq. f (*dies autem plurimos et in civ. D. cum discentibus transegit*) | 13sq. f (*et introivit in s. I. et*) pw (hi hab. εὐθέως; *Iud.* om. w) | 14 fg pro -υσσεν | add. Iren. f | *dominum I.* f sah (non Iren.) | 15 ὁ χρ. add. min. 68. f Iren. lat. (Ir. gr. post θεοῦ), cf. sah | 16 *intra se dic.* f | 17 πορθῶν sec. fp | πάντ. add. min. 40. 68. p sah (ante ἐν Ἰερ. f) | 18 καὶ νῦν δὲ sec. f, κ. ὧδε δὲ p[1] | ἐλήλυθεν EHLPfpv | 20 τ. λ. add. C (ἐν τ. λ. Efp) | 21 συμβ.] *persuadens et dicens* p | 22 add. fgp (gp ὁ θ. εὐδ.) | 24 in *cogitationes eorum quod* defic. f

ταῖς· καὶ πάντες ἐφοβοῦντο αὐτόν, μὴ πιστεύοντες ὅτι ἐστὶν μαθητής. 27 *Βαρνάβας δὲ ἐπιλαβόμενος αὐτὸν ἤγαγεν πρὸς τοὺς ἀποστόλους, καὶ διηγήσατο αὐτοῖς, πῶς ἐν τῇ ὁδῷ εἶδεν τὸν κύριον, καὶ ὅτι ἐλάλησεν αὐτῷ, καὶ πῶς ἐν Δαμασκῷ*
5 *ἐπαρρησιάσατο ἐν τῷ ὀνόματι Ἰησοῦ.* 28 *καὶ ἦν μετ' αὐτῶν εἰσπορευόμενος καὶ ἐκπορευόμενος εἰς Ἰερουσαλήμ, παρρησιαζόμενος ἐν τῷ ὀνόματι τοῦ κυρίου·* 29 *ἐλάλει τε καὶ συνεζήτει πρὸς τοὺς Ἑλληνιστάς. οἱ δὲ ἐπεχείρουν ἀνελεῖν αὐτόν·* 30 *ἐπιγνόντες δὲ οἱ ἀδελφοὶ κατήγαγον αὐτὸν εἰς*
10 *Καισάρειαν* διὰ *νυκτός, καὶ* ἐκεῖθεν *ἐξαπέστειλαν εἰς Ταρσόν.*

31 *Ἡ μὲν οὖν ἐκκλησία καθ' ὅλης τῆς Ἰουδαίας [καὶ Γαλιλαίας] καὶ Σαμαρείας εἶχεν εἰρήνην, οἰκοδομουμένη καὶ πορευομένη τῷ φόβῳ τοῦ κυρίου, καὶ τῇ παρακλήσει τοῦ*
15 *ἁγίου πνεύματος ἐπληθύνετο·* 32 *ἐγένετο δὲ Πέτρον διερχόμενον διὰ* πασῶν τῶν πόλεων καὶ χωρῶν *κατελθεῖν καὶ πρὸς τοὺς ἁγίους τοὺς κατοικοῦντας Λύδδα.* 33 *εὗρεν δὲ ἐκεῖ ἄνθρωπόν τινα ὀνόματι Αἰνέαν, ἐξ ἐτῶν ὀκτὼ κατακείμενον ἐπὶ κραβάτου, ὃς ἦν παραλελυμένος.* 34 ἀτενί-
20 σας δὲ εἰς αὐτὸν †*ὁ Πέτρος εἶπεν αὐτῷ· „Αἰνέα, ἰᾶταί σε Ἰησοῦς χριστός· ἀνάστηθι καὶ στρῶσον σεαυτῷ". καὶ εὐθέως ἀνέστη,* 35 *καὶ εἶδαν αὐτὸν πάντες οἱ κατοικοῦντες Λύδδα καὶ τὸν Σαρῶνα, οἵτινες ἐπέστρεψαν ἐπὶ τὸν κύριον.* 36 *Ἐν Ἰόππῃ δὲ τις ἦν μαθήτρια ὀνόματι Ταβιθά, ἣ διερ-*
25 *μηνευομένη λέγεται Δορκάς· αὕτη ἦν πλήρης ἔργων ἀγαθῶν καὶ ἐλεημοσυνῶν ὧν ἐποίει.* 37 *ἐγένετο δὲ ἐν ταῖς ἡμέραις ἐκείναις ἀσθενήσασαν αὐτὴν ἀποθανεῖν· λούσαντες δὲ αὐτὴν ἔθηκαν ἐν ὑπερῴῳ.* 38 *ἐγγὺς δὲ οὔσης Λύδδας τῇ Ἰόππῃ, οἱ μαθηταὶ ἀκούσαντες ὅτι Πέτρος ἐστὶν ἐν αὐτῇ,*
30 *ἀπέστειλαν δύο ἄνδρας πρὸς αὐτόν, παρακαλοῦντες· „Μὴ ὀκνήσῃς διελθεῖν ἕως ἡμῶν".* 39 *ἀναστὰς δὲ Πέτρος συνῆλ-*

5 *domini I.* p | 7 *domini I.* p cum ℵ^c HLP | 10 *διὰ* (om. 180. gp) *ν.* add. E min. 180. sg (hic ante *εἰς Κ.*) p al. | *ἐκ.* add. gp | 12sq. *καὶ Γαλ.* spurium vid. (om. Chrysost. Cassiod.) 13 *οἰκ.* om. p (*et ingrediabantur timori* [p² *in timore*] *domini*) 16 pw pro *πάντων* (g om. *διὰ π.*, sed hab. *per* pro *καὶ πρὸς*) 17 om. *καὶ* gp | *πάντας τοὺς* w | 19sq. p pro *καὶ ε. α. ὁ Π.* 20 *sanet* gw | 21 *ὁ κύριος Ἰ. χρ.* Agpv | 23 *οἵτ.*] *et* p | 24 *erat quaedam vidua nom.* Ps.-August. (Spec. 82) | 26 *ἐλ. πολλῶν* sec. Ps.-Aug. | 27 post *ἀποθ.* s *quum esset autem P. Lyddae* | 30 *παρακ.*] *καὶ λέγοντες* add. Ps.-Aug.

θεν αὐτοῖς, ὃν παραγενόμενον ἀνήγαγον εἰς τὸ ὑπερῷον, καὶ
παρέστησαν αὐτῷ πᾶσαι αἱ χῆραι κλαίουσαι, καὶ ἐπιδεικνύ-
μεναι χιτῶνας καὶ ἱμάτια διηγοῦντο αὐτῷ, ὅσα ἐποίει
μετ' αὐτῶν οὖσα ἡ Δορκάς. 40 ἐκβαλὼν δὲ ἔξω πάντας ὁ
Πέτρος καὶ θεὶς τὰ γόνατα προσηύξατο, καὶ ἐπιστρέψας 5
πρὸς τὸ σῶμα εἶπεν· „Ταβιθά, ἀνάστηθι ἐν τῷ ὀνόματι
Ἰησοῦ χριστοῦ“. ἡ δὲ ἤνοιξεν τοὺς ὀφθαλμοὺς αὐτῆς,
καὶ ἰδοῦσα τὸν Πέτρον ἀνεκάθισεν, 41 δούς τε αὐτῇ χεῖρα
ἀνέστησεν αὐτήν. φωνήσας δὲ τοὺς ἁγίους καὶ τὰς χήρας πα-
ρέστησεν αὐτὴν ζῶσαν. 42 γνωστὸν δὲ ἐγένετο καθ' ὅλης 10
Ἰόππης, καὶ ἐπίστευσαν πολλοὶ ἐπὶ τὸν κύριον. 43 ἐγένετο
δὲ ἡμέρας ἱκανὰς μεῖναι αὐτὸν ἐν Ἰόππῃ παρά τινι Σίμωνι
βυρσεῖ.

10 1 Ἀνὴρ δέ τις ἐν Καισαρείᾳ ὀνόματι Κορνήλιος, ἑκα-
τοντάρχης ἐκ σπείρης τῆς καλουμένης Ἰταλικῆς, 2 εὐσεβὴς 15
καὶ φοβούμενος τὸν θεὸν σὺν παντὶ τῷ οἴκῳ αὐτοῦ, ποιῶν
ἐλεημοσύνας πολλὰς ἐν τῷ λαῷ καὶ δεόμενος τοῦ θεοῦ διὰ
παντός, 3 εἶδεν [ἐν ὁράματι φανερῶς] ὡσεὶ ὥραν ἐνάτην
τῆς ἡμέρας ἄγγελον τοῦ θεοῦ εἰσελθόντα πρὸς αὐτὸν καὶ
εἰπόντα αὐτῷ· „Κορνήλιε“. 4 ὁ δὲ ἀτενίσας αὐτῷ καὶ ἔμ- 20
φοβος γενόμενος εἶπεν· „Τί ἐστιν, κύριε“; εἶπεν δὲ αὐτῷ·
„Αἱ προσευχαί σου καὶ αἱ ἐλεημοσύναι ἀνέβησαν εἰς μνη-
μόσυνον ἔμπροσθεν τοῦ θεοῦ. 5 καὶ νῦν πέμψον ἄνδρας
εἰς Ἰόππην καὶ μετάπεμψαι Σίμωνα τὸν ἐπικαλούμενον Πέ-
τρον, 6 ὅς ἐστιν ξενιζόμενος πρὸς Σίμωνά †τινα βυρσέα, 25
οὗ ἐστὶν ἡ οἰκία παρὰ θάλασσαν· οὗτος λαλήσει σοι τί
σε δεῖ ποιεῖν“. 7 ὡς δὲ ἀπῆλθεν ὁ ἄγγελος ὁ λαλῶν
αὐτῷ, φωνήσας δύο τῶν οἰκετῶν καὶ στρατιώτην εὐσεβῆ τῶν

2 *περιέστησαν αὐτὸν* Chrys. gpv Ps.-Aug. | *πᾶσαι* om. Ps.-Aug. | 3 add. Ps.-Aug. (v. l. *narrantes; et narrabant,* om. *ei,* p); id. *et cetera vestim.* | 4 *μετ' αὐτῶν οὖσα*] *αὐτοῖς* g | 6 sq. add. s sah gp Cypr. Ps.-Aug. (hic om. *Ταβ.*) Cassiod. (*domini nostri I. Chr.* praet. Cypr. Cass.) | 7 *παραχρῆμα ἤν.* Egp Ps.-Aug. (sah) | 8 *δούς τε* Agp Ps.-Aug. pro *δοὺς δὲ* | 10 *ἐγέν.*] *hoc* add. p [Aug.] | 11 *πολλοὶ* om. w | 17 *ἐν* add. gp Iren. | 18 *εἶδεν οὖν* om. *ἐν ὁρ. φαν.* Iren., v. praef. | *περὶ* ante *ὥρ.* om. LPgpwv | 19 *domini* pro *τ. θ.* pw (codd. Iren.), om. g | 22 *σου* post *ἐλ.* om. dp | 25 *ὅς* g pro *οὗτος* (*καὶ αὐτὸς* M min. 68 Chrys.) | pro *ξενίζεται παρά τινι Σίμωνι βυρσεῖ* M 68 Chr. d (d om. *τινα* cum p, *τὸν* 68) | 26 *οὗ ἐ. ἡ* sec. dgp | add. min. pauci, $p^{2}v^{cl}$ | 28 *αὐτῷ* om. d

προσκαρτερούντων αὐτῷ, 8 *καὶ ἐξηγησάμενος ἅπαντα αὐτοῖς, ἀπέστειλεν αὐτοὺς εἰς τὴν Ἰόππην.* 9 *Τῇ δὲ ἐπαύριον ὁδοιπορούντων ἐκείνων καὶ τῇ πόλει ἐγγιζόντων, ἀνέβη Πέτρος ἐπὶ τὸ δῶμα προσεύξασθαι περὶ ὥραν ἕκτην.* 10 *ἐγένετο δὲ*
5 *πρόσπεινος καὶ ἤθελεν γεύσασθαι· παρασκευαζόντων δὲ [αὐτῶν] ἐπέπεσεν ἐπ' αὐτὸν ἔκστασις,* 11 *καὶ θεωρεῖ τὸν οὐρανὸν ἀνεῳγμένον, καὶ τέσσαρσιν ἀρχαῖς δεδεμένον σκεῦός τι ὡς ὀθόνην λαμπρὰν καθιέμενον ἐπὶ τῆς γῆς,* 12 *ἐν ᾧ ὑπῆρχεν πάντα τὰ τετράποδα καὶ ἑρπετὰ τῆς γῆς καὶ πετεινὰ τοῦ*
10 *οὐρανοῦ.* 13 *καὶ ἐγένετο φωνὴ πρὸς αὐτόν·* „∧ Πέτρε, πᾶν ὃ ἐν τῷ σκεύει βλέπεις, *θῦσον καὶ φάγε*“. 14 *ὁ δὲ Πέτρος εἶπεν*“· „∧ Κύριε, †κοινοῦ καὶ ἀκαθάρτου οὐχ ἅψομαι“. 15 *καὶ φωνὴ πάλιν [ἐκ δευτέρου] πρὸς αὐτόν·* „Ὃ ἐγὼ ἡγίασα, ἀκάθαρτον μὴ λέγε“. 16 *τοῦτο δὲ*
15 *ἐγένετο ἐπὶ τρίς, καὶ ἀνελήμφθη τὸ σκεῦος εἰς τὸν οὐρανόν.* 17 *ὡς δὲ* ἐν ἑαυτῷ ἐγένετο, *διηπόρει ὁ Πέτρος, τί ἂν εἴη τὸ ὅραμα ὃ εἶδεν,* καὶ *ἰδοὺ οἱ ἄνδρες οἱ ἀπεσταλμένοι ἀπὸ τοῦ Κορνηλίου ἐπερωτήσαντες τὴν οἰκίαν τοῦ Σίμωνος ἐπέστησαν ἐπὶ τὸν πυλῶνα,* 18 *καὶ φωνήσαντες ἐπυνθάνοντο,*
20 *εἰ Σίμων ὁ ἐπικαλούμενος Πέτρος ἐνθάδε ξενίζεται.* 19 *Τοῦ δὲ Πέτρου* ἔτι *ἐνθυμουμένου* καὶ διαποροῦντος *περὶ τοῦ δράματος, εἶπεν αὐτῷ τὸ πνεῦμα·* „*Ἰδοὺ ἄνδρες ζητοῦσίν σε·* 20 *ἀλλὰ ἀναστὰς κατάβηθι, καὶ πορεύου σὺν αὐτοῖς μηδὲν διακρινόμενος, ὅτι ἐγὼ ἀπέσταλκα αὐτούς*“. 21 *τότε*
25 *καταβὰς* ∧ *ὁ Πέτρος πρὸς τοὺς ἄνδρας εἶπεν·* „*Ἰδοὺ ἐγώ*

1 *αὐτῷ* om. d | *ἐξ. α. τὸ ὅραμα* dg | 4 *et oravit* dgp | 5 *αὐτῶν* om. Const. ap. 6,12, recte ut vid. | 7 sq. *τέσσαρσιν .. λαμπρ.* Const. ap. dgp[1] (cf. Syr. post.; *δεδεμ.* et. C[1]LP), recte fort., cum altera lectio ex X 1, 5 provenisse possit | 8 *καὶ καθ.* Const. | *καθ.*] *ἐκ τοῦ οὐρ.* add. dp (XI, 5) | *ἐν ᾧ*] *et* d | 10 *αὐτόν*] *λέγουσα* add. w Const. | 10 sq. a (c. Faust. p. 758 Z.) pro *ἀναστὰς Πέτρε* (sed dp *Petre surge*) | 12 *Π.* om. d (*cui idem respondens .. inquit* a) | pro *μηδαμῶς κύριε κτἑ.* a | 13 *καὶ φωνή*] *φωνήσας δὲ* D (non d) | *ἐκ δ.* (XI, 9 *α*) om. ga Const. ap. | 14 a pro *ἃ ὁ θεὸς κτἑ.* (= XI, 9), cf. v. 28 | 15 *εὐθὺς* post *καὶ* om. Dp[1]g Const. al., *πάλιν* eo loco LP, quod Dp post *ἀνελ.* add., cf. XI, 10 (post *σκ.* g) | 16 *ἑαυτῷ ἐγένετο, δι.* Dp (Aug. ed. Z. III, 2 p. 394), cf. XII, 11 | *τὸ τί* Const. | 17 *καὶ ἰδ.* CDELPp | *ἀπὸ* pro *ὑπὸ* ACDLP | 18 *τοῦ* om. D | *venerunt et interrogantes* p, *cum appropinquasseat et interr.* s; fort. *β προσῆλθον καὶ διερ.* | D pro *διερ.* | 21 *δὲ*] *οὖν* p | *ἔτι ἐνθ.* p, *καὶ διαπ.* add. ps | 23 *ἀνάστα* (ut 10 sq. al.) D[1]p[2]v (*surge itaque et* w) | 24 sq. DE Sch. pro *κ. δὲ Π.*

εἰμι ὃν ζητεῖτε· τί θέλετε; ἢ τίς ἡ αἰτία δι' ἣν πάρεστε“;
22 οἱ δὲ εἶπον πρὸς αὐτόν· „Κορνήλιός τις ἑκατοντάρχης,
ἀνὴρ δίκαιος καὶ φοβούμενος τὸν θεόν, μαρτυρούμενός τε
ὑφ' ὅλου τοῦ ἔθνους τῶν Ἰουδαίων, ἐχρηματίσθη ὑπὸ ἀγ-
γέλου ἁγίου μεταπέμψασθαί σε εἰς τὸν οἶκον αὐτοῦ καὶ 5
ἀκοῦσαι ῥήματα παρὰ σοῦ“. 23 τότε εἰσαγαγὼν ὁ Πέτρος
†ἐξένισεν αὐτούς, τῇ δὲ ἐπαύριον ἀναστὰς ἐξῆλθεν σὺν αὐ-
τοῖς, καί τινες τῶν ἀδελφῶν τῶν ἀπὸ Ἰόππης συνῆλθαν
αὐτῷ. 24 τῇ δὲ ἐπαύριον εἰσῆλθεν εἰς τὴν Καισάρειαν· ὁ
δὲ Κορνήλιος ἦν προσδεχόμενος αὐτόν, καὶ συγκαλεσάμενος 10
τοὺς συγγενεῖς αὐτοῦ καὶ τοὺς ἀναγκαίους φίλους περιέ-
μενεν. 25 προσεγγίζοντος δὲ τοῦ Πέτρου [εἰς τὴν
Καισάρειαν], προδραμὼν εἷς τῶν δούλων διεσάφη-
σεν παραγεγονέναι αὐτόν. †ὁ δὲ Κορνήλιος ἐκπηδή-
σας καὶ συναντήσας αὐτῷ, πεσὼν πρὸς τοὺς πόδας προσε- 15
κύνησεν αὐτόν. 26 εἶπεν ⟨δὲ⟩ αὐτῷ †ὁ Πέτρος· „Τί
ποιεῖς; τὸν θεὸν προσκύνει· ∧ ἐγὼ γὰρ ἄνθρωπός
εἰμι ὡς καὶ σύ“. 27 καὶ συνομιλῶν αὐτῷ εἰσῆλθεν, καὶ
εὗρεν συνεληλυθότας πολλούς, 28 ἔφη τε πρὸς αὐτούς·
„Ὑμεῖς βέλτιον ἐπίστασθε, ὡς ἀθέμιστόν ἐστιν ἀνδρὶ Ἰου- 20
δαίῳ κολλᾶσθαι ἢ προσέρχεσθαι ἀλλοφύλῳ· κἀμοὶ ὁ θεὸς
ἐπέδειξεν μηδένα κοινὸν ἢ ἀκάθαρτον λέγειν ἄνθρωπον· 29 διὸ
καὶ ἀναντιρρήτως ἦλθον μεταπεμφθεὶς ὑφ' ὑμῶν. πυνθά-
νομαι οὖν, τίνι λόγῳ μετεπέμψασθέ με“; 30 καὶ ὁ Κορνήλιος
ἔφη· *„Τετάρτην *ἡμέραν *ταύτην ἤμην τὴν ἐνάτην προσ- 25

1 add. Ds (hic om. ἢ) | 2 πρ. α. add. D sah Sch. | τις add. D (Sch.) | 6 τότε DE, εἰσαγ. pro εἰσκαλεσάμενος Dp (προσκ. E) | ὁ Π. add. Dp sah | 7 αὐτούς h. l. D (ante ὁ Π. p) | 8 alt. τῶν om. D | 9 εἰσῆλθεν BDpv | τὴν om. D | 10 D pro προσδοκῶν, cf. L. I,21 | p αὐτόν pro αὐτούς | καὶ add. D | 11 περ. add. D (-ειενεν) sp[1] | 12sqq. προσεγγίζοντος.. αὐτόν add. Dsg (εἰς τ. Κ. om. g, recte ut vid.; est et. in α additum in pw) | 14 ὁ δὲ.. αὐτῷ Ds | 15 πρὸς D pro ἐπὶ | 16 αὐτόν (αὐτῷ D[2]) add. Dpw | *dixit ei P.* p[1] | τί π. Dspw (ἀνάστηθι ex α add. spw) | 17 *deum adora* add. p[2]w (ante *surge*) | ἐγὼ γὰρ p, ἐγὼ αὐτὸς w, κἀγὼ D, καὶ γὰρ ἐ. E (pro καὶ ἐγὼ αὐτὸς) | 18 ὡς καὶ σύ add. DEgpw | καὶ.. εἰσ.] καὶ εἰσελθών τε D[1] | 19 D pro εὑρίσκει | 20 add. D August. | D pro -μιτον | 21 ἀνδρὶ ἀλλ. D sah (non August.) | ἐμοὶ δὲ Iren. | 22 D pro ἔδ. (*dominus mihi dixit* Cypr.) | 23 add. DE | 25 τετ. ἡμ. ταύτην scripsi pro ἀπὸ τετ. (τῆς τρίτης D[1]) ἡμέρας μέχρι ταύτης τῆς (τῆς ἄρτι D) ὥρας, cf. Stud. u. Krit. 1896, 463 (*a nudiusquarta die* v, sed om. *a* Prov.; *usque in hunc diem* g post

ευχόμενος ἐν τῷ οἴκῳ μου, καὶ ἰδοὺ ἀνὴρ ἔστη ἐνώπιόν
μου ἐν ἐσθῆτι λαμπρᾷ, 31 καί φησιν· „Κορνήλιε, εἰση-
κούσθη σου ἡ προσευχή, καὶ αἱ ἐλεημοσύναι σου ἐμνήσθησαν
ἐνώπιον τοῦ θεοῦ. 32 πέμψον οὖν εἰς Ἰόππην, καὶ μετα-
5 κάλεσαι Σίμωνα ὃς ἐπικαλεῖται Πέτρος· οὗτος ξενίζεται ἐν
οἰκίᾳ Σίμωνος βυρσέως παρὰ θάλασσαν· ὃς παραγενόμε-
νος λαλήσει σοι“. 33 ἐξαυτῆς οὖν ἔπεμψα πρός σε,
παρακαλῶν ἐλθεῖν πρὸς ἡμᾶς· σὺ δὲ καλῶς ἐποίησας
ἐν τάχει παραγενόμενος. νῦν οὖν ἰδοὺ πάντες ἡμεῖς ἐνώ-
10 πιόν σου, ἀκοῦσαι βουλόμενοι παρὰ σοῦ ʌ τὰ προστετα-
γμένα σοι ἀπὸ τοῦ κυρίου“. 34 ἀνοίξας δὲ τὸ στόμα Πέτρος
εἶπεν· „Ἐπ᾽ ἀληθείας καταλαμβάνομαι, ὅτι οὐκ ἔστιν προσω-
πολήμπτης ὁ θεός, 35 ἀλλ᾽ ἐν παντὶ ἔθνει ὁ φοβούμενος
αὐτὸν καὶ ἐργαζόμενος δικαιοσύνην δεκτὸς αὐτῷ ἐστιν. 36 τὸν
15 λόγον ὃν ἀπέστειλεν τοῖς υἱοῖς Ἰσραήλ, εὐαγγελιζόμενος εἰρή-
νην διὰ Ἰησοῦ χριστοῦ, οὗτός ἐστιν πάντων [κύριος]. 37 ὑμεῖς
οἴδατε τὸ γενόμενον ῥῆμα καθ᾽ ὅλης τῆς Ἰουδαίας, [ἀρξά-
μενος ἀπὸ τῆς Γαλιλαίας,] μετὰ τὸ βάπτισμα ὃ ἐκήρυξεν
Ἰωάνης, 38 Ἰησοῦν τὸν ἀπὸ Ναζαρέθ, ὃν ἔχρισεν ʌ ὁ θεὸς
20 ἁγίῳ πνεύματι καὶ δυνάμει· οὗτος διῆλθεν εὐεργετῶν καὶ
ἰώμενος πάντας τοὺς καταδυναστευθέντας ὑπὸ τοῦ διαβόλου,
ὅτι ὁ θεὸς ἦν μετ᾽ αὐτοῦ (39 καὶ ἡμεῖς μάρτυρες πάντων,
ὧν ἐποίησεν ἔν τε τῇ χώρᾳ τῶν Ἰουδαίων καὶ Ἱερουσαλήμ)·
ὃν ἀπεδοκίμασαν οἱ Ἰουδαῖοι, καὶ ἀνεῖλαν κρεμάσαν-
25 τες ἐπὶ ξύλου. 40 τοῦτον ὁ θεὸς ἤγειρεν τῇ τρίτῃ ἡμέρᾳ,

ieiunans) | *ἠμ. νηστεύων τ. ἐν. τε* D, cf. A[2]HP; *τὴν ἐν.* (v. 2) om. p

2 *φ. μοι* sp | 6 sq. add. CDEHLP Syri sah gp[1] (g *is* pro *qui*) | 8 add. Dsp | *δὲ* pro *τε* Dg | 9 add. D | *νῦν οὖν ἰδ.* sah, *νῦν δου* D[1] (*ἰδοὺ* D[a]), *et ecce* Sch. | 9 sq. D Sch. sah pro *ἐν. τοῦ θεοῦ πάρεσμεν*; p[1] Prov. *parati sumus* (*assumus* p[2]) *in consp. tuo* (*tuo* et. v), et verum puto *σου* pro *τ. θ.* | 10 *β. π. σ.* add. D (d *volumus,* cf. g) | *πάντα* om. D sah | 11 *θεοῦ* DHLPp al. | *Π.* h. l. Dg | 12 *καταλ-όμενος* D[1] | 15 *γὰρ* ante *λ.* add. C[1]DMspw sah al. | 16 spurium *κύριος* | 17 *ῥῆμα* et *τῆς* om. D | *ἀρξάμενος γὰρ* ADvp Iren.; vid. haec spuria, v. Luc. XXIII, 5 | 19 *ὃν* pro *ὡς* . . *αὐτὸν* Dgp | 20 D Iren. pro *πν. ἁγ.* | *οὗτος* pro *ὃς* Dgp Iren. Vigil. sah | 21 sq. *πάντας* . . *διαβ.*] Prom. III, 13 *in plebe omnem infirmitatem* | D pro *-ομένους* | 22 *in illo* Prom. Vig. | *ὑμεῖς* D | *πάντων*] *αὐτοῦ* D (cf. XIII, 31) | 24 add. s; sim. in p fuisse vid., sed deleta sunt; exstat *Iudaei* | 25 *μετὰ τὴν τρίτην ἡμέραν* D[1]

καὶ ἔδωκεν αὐτὸν ἐμφανῆ γενέσθαι, 41 *οὐ παντὶ τῷ λαῷ, ἀλλὰ μάρτυσιν τοῖς προκεχειροτονημένοις ὑπὸ τοῦ θεοῦ ἡμῖν, οἵτινες συνεφάγομεν καὶ συνεπίομεν αὐτῷ καὶ συνανεστράφημεν μετὰ τὸ ἀναστῆναι* ∧ *ἐκ νεκρῶν ἡμέρας τεσσεράκοντα·* καὶ ἀνέβη εἰς τὸν οὐρανόν, 42 *καὶ ἐνετείλατο ἡμῖν κηρύξαι [τῷ λαῷ] καὶ διαμαρτύρασθαι, ὅτι οὗτός ἐστιν ὁ ὡρισμένος ὑπὸ τοῦ θεοῦ κριτὴς ζώντων καὶ νεκρῶν.* 43 *τούτῳ πάντες οἱ προφῆται μαρτυροῦσιν, ἄφεσιν ἁμαρτιῶν λαβεῖν διὰ τοῦ ὀνόματος αὐτοῦ πάντα τὸν πιστεύοντα εἰς αὐτόν".* 44 *Ἔτι λαλοῦντος τοῦ Πέτρου τὰ ῥήματα ταῦτα, ἔπεσεν τὸ πνεῦμα τὸ ἅγιον ἐπὶ πάντας τοὺς ἀκούοντας τὸν λόγον.* 45 *καὶ ἐξέστησαν οἱ ἐκ περιτομῆς πιστοί, ὅσοι συνῆλθον τῷ Πέτρῳ, ὅτι καὶ ἐπὶ τὰ ἔθνη ἡ δωρεὰ τοῦ πνεύματος τοῦ ἁγίου ἐκκέχυται·* 46 *ἤκουον γὰρ αὐτῶν λαλούντων γλώσσαις καὶ μεγαλυνόντων τὸν θεόν. εἶπεν δὲ ὁ Πέτρος·* 47 *„Μή τι τὸ ὕδωρ κωλῦσαί τις δύναται τοῦ μὴ βαπτισθῆναι αὐτούς, οἵτινες τὸ πνεῦμα τὸ ἅγιον ἔλαβον ὥσπερ καὶ ἡμεῖς";* 48 *τότε προσέταξεν* ∧ *αὐτοὺς ἐν τῷ ὀνόματι Ἰησοῦ χριστοῦ βαπτισθῆναι.* ∧ *παρεκάλεσαν* δὲ *αὐτὸν πρὸς αὐτοὺς ἐπιμεῖναι ἡμέρας τινάς.*

11 1 *Ἀκουστὸν δὲ ἐγένετο τοῖς ἀποστόλοις καὶ τοῖς ἀδελφοῖς τοῖς ἐν τῇ Ἰουδαίᾳ, ὅτι καὶ τὰ ἔθνη ἐδέξαντο τὸν λόγον τοῦ θεοῦ.* 2 *ὁ μὲν οὖν Πέτρος διὰ ἱκανοῦ χρόνου ἠθέλησεν πορευθῆναι εἰς Ἱεροσόλυμα· καὶ προσφωνήσας τοὺς ἀδελφοὺς καὶ ἐπιστηρίξας [αὐτοὺς]* ἐξῆλθεν, *πολύν* τε *λόγον ποιούμενος ⟨ἐπο-*

1 *αὐτῷ* D | 3 *καὶ συν.* (*συνεστρ.* D[1] corr. [b]) add. Dp Syr. post., cf. w | 4 *αὐτὸν* om. DE[2] | *ἡμ. τ.* add. D sah (Eg *δι' ἡμερῶν τ.*) h. l., s Const. ap. VI, 30 ante *μετὰ*; w post *νεκρ.* *et conversati sumus cum eo* (*c. eo* et. s) *per* (*ἐπὶ* Const.) *dies* XL | 5 *καὶ* (om. p[1])..*οὐρ.* add. p, cf. Ephr. p. 44 Harris | D pro *παρήγγειλεν* | 6 *τῷ λαῷ* recte om. p | 11 pro *ἐπέπεσεν* AD | 12 *λ. τοῦ κυρίου* p | 14 *τοῦ* alt. om. D[1] (*τ. ἁγ. πν.* al. praet. BD) | 15 *praevaricatis linguis* d, *καιναῖς γλ.* D[1]? (*aliis l.* sah) | *δοξαζόντων* s | D pro *τότε ἀπεκρίθη Π.* cf. 18 | 16 *κωλ.* (*κωλαι* D[1]) *τις δύναται* D[1], *κ. δ. τ.* D[2]HLP, et alii alio ordine | 17 *αὐτοὺς* D pro *τούτους* | 18 *ὥσπερ* D pro *ὡς* (*καθὼς* EHLP) | Dp pro *προσ. δὲ* (*τε*) | 19 *τοῦ κυρίου Ἰ. χρ.* D, *τ. κυρ.* HLP | *β.* ante *ἐν* 18 DEHLPgv | D (*τότε π.* sine *δὲ*; D[1] *διαμεῖναι*, corr. [a]), cf. gp (p *rogaverunt omnes* sine *τότε* vel *δὲ*) | 21 sq. D (D[1] *οι ἐν τη*), cf. Sch. | 22 *ἐδέξατο* D[1] | 23 *θεοῦ*] add. sgp[2]w al. lat. *καὶ ἐδόξαζον τὸν θεόν*, v. v. 18 | *ὁ μὲν κτέ.* Dspw | 25 *προσφωνῆσαι* sec. s | *αὐτοὺς* om. spw | 26 *ἐξ-*

ρεύετο〉 διὰ τῶν χωρῶν διδάσκων αὐτούς. ὅτε δὲ κατήντησεν εἰς Ἱεροσόλυμα καὶ ἀπήγγειλεν αὐτοῖς τὴν χάριν τοῦ θεοῦ, †οἱ ἐκ περιτομῆς ἀδελφοὶ διεκρίνοντο πρὸς αὐτόν, 3 *λέγοντες· „Τί εἰσῆλθες πρὸς ἄνδρας ἀκρο-*
5 *βυστίαν ἔχοντας καὶ συνέφαγες αὐτοῖς“;* 4 *ἀρξάμενος δὲ Πέτρος ἐξετίθετο αὐτοῖς* πάντα *καθεξῆς, λέγων·* 5 *„Ἐγὼ ἤμην ἐν Ἰόππῃ πόλει προσευχόμενος, καὶ εἶδον ἐν ἐκστάσει ὅραμα, καταβαῖνον σκεῦός τι ὡς ὀθόνην μεγάλην, τέσσαρσιν ἀρχαῖς καθιεμένην ἐκ τοῦ οὐρανοῦ, καὶ ἦλθεν ἕως ἐμοῦ,*
10 6 *εἰς ἣν ἀτενίσας κατενόουν, καὶ εἶδον τετράποδα τῆς γῆς καὶ [τὰ] θηρία καὶ ∧ ἑρπετὰ καὶ ∧ πετεινὰ τοῦ οὐρανοῦ.* 7 *καὶ ἤκουσα φωνὴν λέγουσάν μοι· „Ἀνάστα Πέτρε, θῦσον καὶ φάγε“.* 8 *εἶπα δέ· „Μηδαμῶς, κύριε, ὅτι κοινὸν ἢ ἀκάθαρτον οὐδέποτε εἰσῆλθεν εἰς τὸ στόμα μου“.* 9 *ἐγέ-*
15 *νετο δὲ φωνὴ ἐκ τοῦ οὐρανοῦ πρός με· „Ἃ ὁ θεὸς ἐκαθάρισεν σὺ μὴ κοίνου“.* 10 *τοῦτο δὲ ἐγένετο ἐπὶ τρίς, καὶ ἀνεσπάσθη πάλιν ἅπαντα εἰς τὸν οὐρανόν.* 11 *καὶ ἰδοὺ ἐξαυτῆς τρεῖς ἄνδρες ἐπέστησαν ἐπὶ τὴν οἰκίαν ἐν ᾗ ἤμην, ἀπεσταλμένοι ἀπὸ Καισαρείας πρός με.* 12 *εἶπεν δὲ τὸ πνεῦμά*
20 *μοι συνελθεῖν αὐτοῖς. ἦλθον δὲ σὺν ἐμοὶ καὶ οἱ ἓξ ἀδελφοὶ οὗτοι, καὶ εἰσήλθομεν εἰς τὸν οἶκον τοῦ ἀνδρός·* 13 *ἀπήγγειλεν δὲ ἡμῖν, πῶς εἶδεν ἄγγελον ἐν τῷ οἴκῳ αὐτοῦ σταθέντα καὶ εἰπόντα· „Ἀπόστειλον εἰς Ἰόππην καὶ μετάπεμψαι Σίμωνα τὸν ἐπικαλούμενον Πέτρον,* 14 *ὃς λαλήσει ῥήματα*
25 *πρός σε, ἐν οἷς σωθήσῃ σὺ καὶ πᾶς ὁ οἶκός σου“.* 15 *ἐν δὲ*

ἦλθεν om. D | post *ἐξ.* s nihil nisi *et* (*et* c. obelo) *docuit eos* | *τε* (*quoque*) add. pw

1 post *αὐτοὺς* D: *ὃς* (*quia* d) *καὶ κατήντ. αὐτοῖς καὶ ἀπ. κτέ.*; pw fere ut α (sed *autem Petr.* om. p[1]) | 3 omisi *δὲ* post *οἱ* (*quia* sine *autem* d) | *ἀδελφοὶ* Dp'w | 4 *τί* g (*quid*), *quare* vp, pro *ὅτι* | 5 *σὺν αὐτοῖς* D | 6 *omnia per ordinem* g, *τα κατεξης* D (*ordinem visionis* p[2]w) | 7 D pro *πόλει Ἰ.* | *ἐν* om. D[1] | 8 *μεγάλην*] *λαμπράν* s, *μεγ. λ.* p[1] (X, 11) | *τέτρασιν* D | 9 D pro *ἄχρι*, cf. XIII, 11 | 10 *τὰ* ante *τετρ.* om. D | 11 *τὰ* secl., om. D ante *ἑρπ.* et *πετ.* | 12 D pro *ἤκ. δὲ καὶ* | D pro *φωνῆς λεγούσης* | Dgpv pro *ἀναστὰς* | 13 *εἶπα* D pro *εἶπον* | *κύριε, σὺ οἶσθα ὅτι* Orig. XVII, 219 sq. IX, 302 | 14 *nunquam manducavi nec introivit* p[2] | 14 sq. D (*δὲ* om. D[1], add.[a]; *πρός με λέγουσα* p) | 18 *ἤμεν* falso D ut ℵAB | 20 *μηδὲν διακρίναντα* om. D Syr. post. p[1]s, recte (Grsb.), v. X, 20 | *δὲ* om. D | 20 sq. *καὶ οἱ . . καὶ*] *et alii fratres* p[1] | 22 recte *τὸν* ante *ἄγγ.* om. D | 23 *εἰπ. αὐτῷ* DEH LPgpv

τῷ ἄρξασθαί με λαλεῖν αὐτοῖς, ἐπέπεσεν τὸ πνεῦμα τὸ ἅγιον ἐπ᾽ αὐτούς, ὡς καὶ ἐφ᾽ ἡμᾶς ἐν ἀρχῇ. 16 ἐμνήσθην δὲ τοῦ ῥήματος τοῦ κυρίου, ὡς ἔλεγεν· „Ἰωάνης μὲν ἐβάπτισεν ὕδατι, ὑμεῖς δὲ βαπτισθήσεσθε ἐν πνεύματι ἁγίῳ“. 17 εἰ οὖν τὴν ἴσην δωρεὰν ἔδωκεν αὐτοῖς ὁ θεὸς ὡς καὶ ἡμῖν 5 πιστεύσασιν ἐπὶ τὸν κύριον Ἰησοῦν χριστόν, ἐγὼ τίς ἤμην; δυνατὸς κωλῦσαι τὸν θεόν, τοῦ μὴ δοῦναι αὐτοῖς πνεῦμα ἅγιον [πιστεύσασιν ἐπ᾽ αὐτῷ]“; 18 Ἀκούσαντες δὲ ταῦτα ἡσύχασαν καὶ ἐδόξαζον τὸν θεὸν λέγοντες· „Ἄρα καὶ τοῖς ἔθνεσιν ὁ θεὸς μετάνοιαν εἰς ζωὴν ἔδωκεν“. 10

19 Οἱ μὲν οὖν διασπαρέντες ἀπὸ τῆς θλίψεως τῆς γενομένης ἐπὶ Στεφάνῳ διῆλθον ἕως Φοινίκης καὶ Κύπρου καὶ Ἀντιοχείας, μηδενὶ τὸν λόγον λαλοῦντες εἰ μὴ μόνοις Ἰουδαίοις. 20 ἦσαν δέ τινες ἐξ αὐτῶν ἄνδρες Κύπριοι καὶ Κυρηναῖοι, οἵτινες ἐλθόντες εἰς Ἀντιόχειαν ἐλάλουν καὶ πρὸς 15 τοὺς Ἕλληνας εὐαγγελιζόμενοι τὸν κύριον Ἰησοῦν. 21 ἦν δὲ χεὶρ κυρίου μετ᾽ αὐτῶν, πολύς τε ἀριθμὸς ὁ πιστεύσας ἐπέστρεψεν ἐπὶ τὸν κύριον. 22 ἠκούσθη δὲ ὁ λόγος εἰς τὰ ὦτα τῆς ἐκκλησίας τῆς οὔσης ἐν Ἰερουσαλὴμ περὶ αὐτῶν, καὶ ἐξαπέστειλαν Βαρνάβαν διελθεῖν ἕως Ἀντιοχείας, 23 ὃς καὶ 20 παραγενόμενος καὶ ἰδὼν τὴν χάριν τὴν τοῦ θεοῦ ἐχάρη, καὶ παρεκάλει πάντας τῇ προθέσει τῆς καρδίας προσμένειν τῷ κυρίῳ, 24 ὅτι ἦν ἀνὴρ ἀγαθὸς καὶ πλήρης πνεύματος ἁγίου καὶ πίστεως. καὶ προσετέθη ὄχλος ἱκανὸς [τῷ κυρίῳ]. 25 ἀκούσας δὲ ὅτι Σαῦλός ἐστιν εἰς Ταρσόν, ἐξῆλθεν 25 ἀναζητῶν αὐτόν, καὶ συντυχὼν παρεκάλεσεν ἐλθεῖν εἰς Ἀντιόχειαν· 26 οἵτινες παραγενόμενοι ἐνιαυτὸν ὅλον †συνήχθησαν τῇ ἐκκλησίᾳ καὶ ἐδίδαξαν ὄχλον ἱκανόν,

1 αὐτ. add. D (p *ad eos*) | ἔπεσεν D | 2 αὐτοῖς D[1] | ὡς pro ὥσπερ D | 5 ὁ θεὸς om. D August. | 7 sq. τοῦ . . ἅγιον DspAug.; add. πιστ. ἐπ᾽ α. D, πιστ. εἰς τ. κύριον Ἰ. Χ. s | 9 ἔδοξαν D[1], ἐδόξασαν D[b] cum ℵBgpv | 10 τὴν ante μετ. om. D | 12 ἀπὸ τοῦ Στεφάνου D[1], del. τοῦ D[2], ἐ. Στ-ου et. gv | Κύπρου] Τύρου p | 13 τὸν λ. h. l. D | μόνοις pro μόνον D(gpv) | 15 καὶ om. Dg ut ℵ[c]EHLP | 16 Ἰ. χρ. Dw | D pro καὶ ἦν (*eratque* p[2]) | 17 ὁ om. DEHLP | 19 οὔσης om. DAHLP | 20 ἕως τῆς Ἀ. D[1] | καὶ add. D (*et* sine *qui* g) | 21 alt. τὴν om. DEHLP | 24 τ. κυρ. recte om. B | 25 sq. ἀκούσας . . αὐτὸν Dg (*requirere* ut d) s (simil.) p (*exiens requirens*) | 26 sq. καὶ (καὶ ὡς D[1], *quem cum* p, sim. s) σ. παρ. (*rogabat* p, add. αὐτὸν D[2]s) . . Ἀντ. Dp[1]s | 27 οἵτ. παρ. D (παρ. δὲ sec. ps) | 28 συνεχύθησαν D, *commiscuerunt se ecclesiae* p[1] | τῇ ἐκκλ. καὶ ἐδ. om. D, hab. p (*docebant*), cf. v

καὶ τότε πρῶτον ἐχρημάτισαν ἐν Ἀντιοχείᾳ οἱ μαθηταὶ Χρηστιανοί.
27 Ἐν ταύταις δὲ ταῖς ἡμέραις κατῆλθον ἀπὸ Ἱεροσολύμων προφῆται εἰς Ἀντιόχειαν· ἦν δὲ πολλὴ ἀγαλλία-
5 σις. συνεστραμμένων δὲ ἡμῶν, 28 ἔφη εἷς ἐξ αὐτῶν ὀνόματι Ἄγαβος σημαίνων διὰ τοῦ πνεύματος λιμὸν μεγάλην μέλλειν ἔσεσθαι ἐφ' ὅλην τὴν οἰκουμένην, ἥτις ἐγένετο ἐπὶ Κλαυδίου. 29 οἱ δὲ μαθηταὶ καθὼς εὐποροῦντο, ὥρισαν ἕκαστος αὐτῶν εἰς διακονίαν πέμψαι τοῖς κατοικοῦσιν
10 ἐν τῇ Ἰουδαίᾳ ἀδελφοῖς, 30 ὃ καὶ ἐποίησαν ἀποστείλαντες πρὸς τοὺς πρεσβυτέρους διὰ χειρὸς Βαρνάβα καὶ Σαύλου.
12 1 Κατ' ἐκεῖνον δὲ τὸν καιρὸν ἐπέβαλεν τὰς χεῖρας Ἡρῴδης ὁ βασιλεὺς κακῶσαί τινας τῶν ἀπὸ τῆς ἐκκλησίας ⟨τῆς⟩ ἐν τῇ Ἰουδαίᾳ, 2 καὶ ἀνεῖλεν Ἰάκωβον τὸν ἀδελφὸν
15 Ἰωάνου μαχαίρῃ. 3 ἰδὼν δὲ ὅτι ἀρεστόν ἐστιν τοῖς Ἰουδαίοις ἡ ἐπιχείρησις αὐτοῦ ἐπὶ τοὺς πιστούς, προσέθετο συλλαβεῖν καὶ Πέτρον (ἦσαν δὲ αἱ ἡμέραι τῶν ἀζύμων). 4 τοῦτον πιάσας ἔθετο εἰς φυλακήν, παραδοὺς τέσσαρσιν τετραδίοις στρατιωτῶν φυλάσσειν, βουλόμενος μετὰ τὸ πάσχα
20 ἀναγαγεῖν αὐτὸν τῷ λαῷ. 5 ὁ μὲν οὖν Πέτρος ἐτηρεῖτο ἐν τῇ φυλακῇ ὑπὸ τῆς σπείρης τοῦ βασιλέως· πολλὴ δὲ προσευχὴ ἦν ἐν ἐκτενείᾳ †περὶ αὐτοῦ γινομένη ἀπὸ τῆς ἐκκλησίας πρὸς τὸν θεόν. 6 ὅτε δὲ ἤμελλεν προάγειν αὐτὸν ὁ Ἡρῴδης, τῇ νυκτὶ ἐκείνῃ ἦν ὁ Πέτρος κοιμώμενος
25 μεταξὺ δύο στρατιωτῶν δεδεμένος ἁλύσεσιν δυσίν, φύλακές τε πρὸ τῆς θύρας ἐτήρουν τὴν φυλακήν. 7 καὶ ἰδοὺ ἄγγελος κυρίου ἐπέστη τῷ Πέτρῳ, καὶ φῶς ἐπέλαμψεν ἀπ' αὐτοῦ τῷ τόπῳ ἐκείνῳ· νύξας δὲ τὴν πλευρὰν τοῦ

1 D[1] (ἐχρ-εν) gp | 2 χρειστ. D, χρηστ. recte ℵ[1] | 4 ἦν .. ἀγ. Dp (*eratque*) w (*et erat*) August. | 5 συνεστρ. δὲ ἡμ. Dp(w) Aug. | ἔφη D | 6 D (p *qui significabat*) | μέγαν D[1]EHLP | 8 Dpv (cf. g) | εὐποροῦντο D pro εὐπορεῖτό τις | 12 τὰς χ. ante Ἡ. ὁ β. D | 13sq. Dspw | 14 καὶ ἀν. D pro ἀν. δὲ | 15 μαχαίρᾳ D[1] al. | καὶ ἰδ. ὅτι DHLPg | 16 Ds (p[1] *coeptum istud de sanctis et fidelibus*) | 18 Dg pro ὃν καὶ | 19 αὐτόν post φυλ. om. Dgpv | 21 ὑπὸ .. βασ. add. sp[1] | 21sq. πολλὴ δὲ πρ. D pro πρ. δὲ | 22 ἐν ἐκτ. D, qui om. γιν. | περὶ α. et h. l. et post θεὸν D | ἀπὸ D pro ὑπὸ | 24 ὁ om. D | κοιμούμ. D[1] | 25sq. φ. δὲ D | 27 τ. Π. add. Dsp | ἐπέλ. D (*refulsit* gpv) | 27sq. ἀπ' αὐτοῦ sec. sgp | 28 τῷ D, *in* et. gp | *loco illo* p[1], *illo l.* g, cf. II, 2. IV, 31; οἰκήματι D ut α | νύξας Dg | τε p

Πέτρου, ἤγειρεν αὐτὸν λέγων· „Ἀνάστα ἐν τάχει“. καὶ ἀνέστη, *καὶ ἐξέπεσαν αἱ ἁλύσεις ἐκ τῶν χειρῶν αὐτοῦ.* 8 *εἶπεν δὲ ὁ ἄγγελος πρὸς αὐτόν· „Ζῶσαι καὶ ὑπόδησαι τὰ σανδάλιά σου“. ἐποίησεν δὲ οὕτως. καὶ λέγει αὐτῷ· „Περιβαλοῦ τὸ ἱμάτιόν σου, καὶ ἀκολούθει μοι“.* 9 *καὶ ἐξελθὼν ἠκολούθει, καὶ οὐκ ᾔδει ὅτι ἀληθές ἐστιν τὸ γινόμενον διὰ τοῦ ἀγγέλου, ἐδόκει δὲ ὅραμα βλέπειν.* 10 *διελθόντες δὲ πρώτην καὶ δευτέραν φυλακήν, ἦλθον ἐπὶ τὴν πύλην τὴν σιδηρᾶν τὴν φέρουσαν εἰς τὴν πόλιν, ἥτις αὐτομάτη ἠνοίγη αὐτοῖς, καὶ ἐξελθόντες κατέβησαν τοὺς ἑπτὰ βαθμούς, καὶ προῆλθαν ῥύμην μίαν, καὶ εὐθέως ἀπέστη ὁ ἄγγελος ἀπ' αὐτοῦ.* 11 τότε *ὁ Πέτρος ἐν ἑαυτῷ γενόμενος εἶπεν· „Νῦν οἶδα, ὅτι ἀληθῶς ἐξαπέστειλεν κύριος τὸν ἄγγελον αὐτοῦ, καὶ ἐξείλατό με ἐκ χειρὸς Ἡρῴδου καὶ πάσης τῆς προσδοκίας τοῦ λαοῦ τῶν Ἰουδαίων“.* 12 *καὶ συνιδὼν ἦλθεν ἐπὶ τὴν οἰκίαν Μαρίας τῆς μητρὸς Ἰωάνου τοῦ ἐπικαλουμένου Μάρκου, οὗ ἦσαν ἱκανοὶ συνηθροισμένοι καὶ προσευχόμενοι.* 13 *κρούσαντος δὲ αὐτοῦ τὴν θύραν τοῦ πυλῶνος, προῆλθεν παιδίσκη ὀνόματι Ῥόδη ὑπακοῦσαι,* 14 *καὶ ἐπιγνοῦσα τὴν φωνὴν τοῦ Πέτρου, ἀπὸ τῆς χαρᾶς οὐκ ἤνοιξεν τὸν πυλῶνα, εἰσδραμοῦσα δὲ ἀπήγγειλεν ἑστάναι Πέτρον πρὸ τοῦ πυλῶνος.* 15 *οἱ δὲ ἔλεγον αὐτῇ· „Μαίνῃ“. ἡ δὲ διισχυρίζετο οὕτως ἔχειν. οἱ δὲ ἔλεγον πρὸς αὐτήν· „Τυχὸν ὁ ἄγγελος αὐτοῦ ἐστιν“.* 16 *ὁ δὲ ἐπέμενεν κρούων· ἐξανοίξαντες δὲ †καὶ ἰδόντες αὐτὸν Λ ἐξέστησαν.* 17 *κατασείσας δὲ αὐτοῖς τῇ χειρὶ ἵνα σιγήσωσιν, εἰσῆλθεν καὶ διηγήσατο αὐτοῖς, πῶς ὁ κύριος αὐτὸν ἐξήγαγεν ἐκ τῆς φυλακῆς, εἶπέν τε· „Ἀπαγγείλατε Ἰακώβῳ καὶ τοῖς ἀδελφοῖς ταῦτα“. καὶ ἐξελθὼν ἐπορεύθη εἰς ἕτερον τόπον.* 18 *Γενο-*

1 sq. *et surrexit* add. g | 2 *αὐτοῦ* h. l. Dgpv | 4 *ἐποί. δὲ οὕτ.* post *μοι* 5 p, om. *καὶ λέγει αὐτῷ* 4 | 7 *γὰρ* pro *δὲ* Dp | 8 *καὶ δευτ.* h. l. Dgpv | 10 sq. add. D(p) | 11 *προσῆλθαν* D | 12 *τότε* sp | 13 *ὅτι ἀλ.* DEp Lucif. | 15 *καὶ σ.* D, *σ. δὲ* gp(A), pro *σ. τε* | 16 *τῆς Μ. τῆς* D ut ℵAB | 17 *ἀδελφοὶ ἱκ.* s | 18 *πυλῶνος*] plura fuerunt in D[1] (*foris* d) | 19 *προσῆλθεν* ut plerique D (non pv) | *ὑπακ.* h. l. D | 20 *ἤν. αὐτῷ* Es | 21 *καὶ εἰσδρ. δὲ* D[1] | *τὸν* ante *Π.* recte om. D | 22 D[1] (*οἱ δὲ πρὸς αὐτήν* sine verbo D[2]) | 23 D (Sch.) | 24 *αὐτοῦ* h. l. DEHLgpv | *Πέτρος* om. Dp (prob. Grsb.) | 24 sq. *ἐξαν. δὲ κ. ἰδ. αὐτὸν* (*αὐτὸν* om. p) *καὶ* (del. D[2]) D | 26 *ἵνα σειγ . . . σιν* D[1], cf. vgp | add. Dsp | 28 *δὲ* D cum HLP

μένης δὲ ἡμέρας ἦν τάραχος Λ ἐν τοῖς στρατιώταις, τί ἄρα
ὁ Πέτρος ἐγένετο, ἢ πῶς ἐξῆλθεν. 19 Ἡρῴδης δὲ ἐπι-
ζητήσας αὐτὸν καὶ μὴ εὑρών, ἀνακρίνας τοὺς φύλακας ἐκέ-
λευσεν ἀπαχθῆναι, καὶ κατελθὼν ἀπὸ τῆς Ἰουδαίας εἰς
5 Καισάρειαν διέτριβεν. 20 ἦν δὲ θυμομαχῶν Τυρίοις καὶ
Σιδωνίοις. οἱ δὲ ὁμοθυμαδὸν ἐξ ἀμφοτέρων τῶν πό-
λεων παρῆσαν πρὸς τὸν βασιλέα, καὶ πείσαντες Βλάστον
τὸν ἐπὶ τοῦ κοιτῶνος αὐτοῦ ᾐτοῦντο εἰρήνην, διὰ τὸ τρέ-
φεσθαι †τὰς χώρας αὐτῶν ἐκ τῆς βασιλικῆς. 21 τακτῇ δὲ
10 ἡμέρᾳ ὁ Ἡρῴδης ἐνδυσάμενος ἐσθῆτα βασιλικήν, καθίσας
ἐπὶ τοῦ βήματος ἐδημηγόρει πρὸς αὐτούς. καταλλαγέντος
δὲ αὐτοῦ τοῖς Τυρίοις καὶ τοῖς Σιδωνίοις, 22 ὁ Λ
δῆμος ἐπεφώνει· „Θεοῦ φωναὶ καὶ οὐκ ἀνθρώπου“. 23 παρα-
χρῆμα δὲ αὐτὸν ἐπάταξεν ἄγγελος κυρίου, ἀνθ' ὧν οὐκ ἔδω-
15 κεν δόξαν τῷ θεῷ, καὶ καταβὰς ἀπὸ τοῦ βήματος,
*ἐγένετο σκωληκόβρωτος ἔτι ζῶν καὶ οὕτως ἐξέψυξεν.

24 Ὁ δὲ λόγος τοῦ κυρίου ηὔξανεν καὶ ἐπληθύνετο.
25 Βαρνάβας δὲ καὶ Σαῦλος, ὁ ἐπικαλούμενος Παῦλος,
ὑπέστρεψαν ἀπὸ Ἱερουσαλὴμ εἰς Ἀντιόχειαν, πληρώσαντες
20 τὴν διακονίαν, συμπαραλαβόντες Ἰωάνην τὸν ἐπικληθέντα
Μᾶρκον.

13 1 Ἦσαν δὲ Λ καθ' ἑκάστην ἐκκλησίαν προφῆται καὶ δι-
δάσκαλοι, ἐν οἷς καὶ ⟨ἐν Ἀντιοχείᾳ⟩ Βαρνάβας καὶ Συμεὼν
ὁ ἐπικαλούμενος Νίγερ καὶ Λούκιος Κυρηναῖος, Μαναήν τε
25 Ἡρῴδου τοῦ τετραάρχου σύντροφος, καὶ Παῦλος. 2 λειτουρ-
γούντων δὲ αὐτῶν τῷ κυρίῳ καὶ νηστευόντων, εἶπεν τὸ πνεῦμα
τὸ ἅγιον· „Ἀφορίσατε δή μοι τὸν Βαρνάβαν καὶ Παῦλον εἰς
τὸ ἔργον ὃ προσκέκλημαι αὐτούς“. 3 τότε νηστεύσαντες καὶ

1 *οὐκ ὀλίγος* om. Dgp | 2 add. p² | 4 *ἀποκτανθῆναι* D¹ (corr. ᵃᵇ) | 5 *γὰρ* pro *δὲ* D | 6 *οἱ δὲ* Dspv | add. Ds | 7 *τὸν β.* D, it. 8 *αὐτοῦ* | 9 *τὰς χώρας α. ἐκ* pro *α. τὴν χώραν ἀπὸ* Dgpv | 10 *καὶ καθ.* D cum al. | 11 sq. add. D *κατ. δὲ α. τ. Τ., καὶ* (om. w) *κ. α. τ. Τ. κ. τ. Σ.* p² (cf. w), *κατηλλάγη δὲ αὐτοῖς* s | 12 *ὁ δὲ δ.* et. D (non p²) | 13 pro *φωνὴ* D¹gpwv | 14 pro *ἐπάτ. α.* Dg | *κυρίου* om. p | 15 sq. D, sed *γενόμενος* ut cet. | 18 add. s (*qui vocabatur*) p¹ (*qui cognominatus est*). cf. 25. 27 | 19 *ἀπὸ* DE pro *ἐξ* | *εἰς Ἀ.* add. p | 20 *τὸν Ἰ.* D | 22 p (*secundum* p¹, *in* p²), cf. d | 23 *ἐν οἷς* Dv, *ἦν καὶ* add. D², om. *ὅ τε* D. addidi *ἐν Ἀντ.*; cf. XVII, 34. XIX, 14 | *ἐπικ.* Dp | 24 *ὁ* ante *Κυρ.* recte om. D | *τοῦ καὶ* D | 25 (*τετραάρχου* ℵ pro *τετράρχ.*) | *Παῦλος* pro *Σ.* p¹ | 27 *Παῦλ.* pro *Σ.* p

προσευξάμενοι πάντες, ἐπιθέντες τὰς χεῖρας αὐτοῖς ἀπέλυσαν.
4 οἱ μὲν οὖν ἐξελθόντες ἀπὸ τῶν ἁγίων, καταβάντες *τε εἰς Σελεύκειαν, ἐκεῖθεν Λ ἀπέπλευσαν εἰς Κύπρον,
5 Λ γενόμενοι δὲ ἐν Σαλαμῖνι κατήγγελλον τὸν λόγον τοῦ κυρίου ἐν ταῖς συναγωγαῖς τῶν Ἰουδαίων· εἶχον δὲ καὶ 5
Ἰωάνην ὑπηρετοῦντα αὐτοῖς. 6 καὶ περιελθόντων αὐτῶν ὅλην τὴν νῆσον ἄχρι Πάφου, εὗρον ἄνδρα τινὰ μάγον ψευδοπροφήτην Ἰουδαῖον, ὀνόματι καλούμενον Βαριησουα(ν), ὃ μεθερμηνεύεται Ἑτοιμᾶς, 7 ὃς ἦν σὺν τῷ ἀνθυπάτῳ Σεργίῳ Παύλῳ, ἀνδρὶ συνετῷ. οὗτος προσκαλε- 10
σάμενος Βαρνάβαν καὶ Σαῦλον ἐπεζήτησεν ἀκοῦσαι τὸν λόγον τοῦ θεοῦ· 8 ἀνθίστατο δὲ αὐτοῖς Ἑτοιμᾶς ὁ μάγος ΛΛ, ζητῶν διαστρέψαι τὸν ἀνθύπατον ἀπὸ τῆς πίστεως, ἐπειδὴ ἥδιστα ἤκουεν αὐτῶν. 9 Σαῦλος δέ, ὁ καὶ Παῦλος, πλησθεὶς πνεύματος ἁγίου, ἀτενίσας εἰς αὐτὸν 10 εἶπεν· 15
„Ὦ πλήρης παντὸς δόλου καὶ ῥᾳδιουργίας, υἱὲ διαβόλου, ἐχθρὲ πάσης δικαιοσύνης, οὐ παύσῃ διαστρέφων τὰς ὁδοὺς κυρίου τὰς εὐθείας; 11 καὶ νῦν ἰδοὺ χεὶρ κυρίου ἐπὶ σέ, καὶ ἔσῃ τυφλὸς μὴ βλέπων τὸν ἥλιον ἕως καιροῦ“. καὶ εὐθέως ἔπεσεν ἐπ' αὐτὸν ἀχλὺς καὶ σκότος, καὶ περιάγων ἐζήτει 20
χειραγωγούς. 12 Λ ἰδὼν δὲ ὁ ἀνθύπατος τὸ γεγονὸς ἐθαύ-

1 *πάντες καὶ* D pro *καί*, quod om. p | *ἀπέλ.* om. D | 2 *οἱ* pro *αὐτοὶ* Dp, qui *egressi igitur a sanctis*; vereor ne lectio vulg. (et. D) interpolatori debeatur (*ὑπὸ τ. πνεύματος ἁγίου* D[1]) | 2sq. *καταβ. δὲ* (sic) D, om. *τε* post *ἐκ.* | 4 D | *ἐν τῇ Σ.* D | *κατήγγειλαν* D | 5 *κ.* pro *θεοῦ* Dg | 6 Dsp (*ἔχοντες μεθ' ἑαυτῶν καὶ Ἰ. εἰς διακονίαν* E, cf. v) | *καὶ [πε]ριελθ.* (an *ἐκπεριελθ.* scribendum?) *δὲ αὐτῶν* D[1] (*διελθόντων δὲ α.* D[2]) pro *διελθόντες δὲ* | 7 *μάγον* om. g Lucif. | 8 D pro *ᾧ ὄνομα* (*nomine* sine *καλ.* p) | *βαριἠσουα* D, D[1] *-αν* vel *-αμ*, *bariesuam* d, *Bariesubam* Lucif., *barieu* p[2] in ras., *barihen* et *barieu* p mg. (Hieron.), barieu w, *barihus* Prov., pro *Βαριησοῦς, -οῦ, -οῦν* | 9 add. Egw Lucif. ὃ (ὃς w) *μεθ. Ἐλύμας* (at g Luc. w *paratus*, = Ἕτοιμος), cf. v. 8, ubi Ἑτ[ο]ιμᾶς D[1], *etoemus* Lucif.; at *(h)elimas* gp, ut א etc. *Ἐλύμας* | 10 *συγκαλ.* D | 11 recte *Σ.* hic et. p, propter interiectam Sergii P. mentionem | *ἐπεζ.*] *καὶ ἐζ.* D[1], *ἐζ.* D[2] | 12 v. ad 9 | omisi *οὕτως γὰρ μεθερμηνεύεται τὸ ὄν. αὐτοῦ* (omnes), v. v. 6 | 13sq. add. D[1]s (cf. E) | 15 *καὶ ἀτ.* DEHPg (non Lucif.) | 16 *πάσης* om. D[1] (add. [b]) g Lucif. (Vigil. et. *παντὸς* om.) | 18 *τὰς οὔσας εὐθ.* D[1] | *ἡ χείρ* D[1] (corr. ead.) | 19 D pro *ἄχρι*, cf. XI, 5 | D pro *παραχρῆμα δὲ (τε)* | 21 Dg pro *τότε ἰδ.* | 21sq. *ἐθ. καὶ* add. DE

μασεν, καὶ ἐπίστευσεν τῷ θεῷ, ἐκπλησσόμενος ἐπὶ τῇ διδαχῇ τοῦ κυρίου.
13 Ἀναχθέντες δὲ ἀπὸ τῆς Πάφου οἱ περὶ Παῦλον ἦλθον εἰς Πέργην τῆς Παμφυλίας· Ἰωάνης δὲ ἀποχωρήσας ἀπ'
5 αὐτῶν ὑπέστρεψεν εἰς Ἱεροσόλυμα. 14 αὐτοὶ δὲ διελθόντες ἀπὸ τῆς Πέργης παρεγένοντο εἰς Ἀντιόχειαν τῆς Πισιδίας, καὶ εἰσελθόντες εἰς τὴν συναγωγὴν τῇ ἡμέρᾳ τῶν σαββάτων ἐκάθισαν. 15 μετὰ δὲ τὴν ἀνάγνωσιν τοῦ νόμου καὶ τῶν προφητῶν ἀπέστειλαν οἱ ἀρχισυνάγωγοι πρὸς αὐτοὺς λέγον-
10 τες· „Ἄνδρες ἀδελφοί, εἴ τίς ἐστιν λόγος σοφίας ἐν ὑμῖν ⟨ἢ⟩ παρακλήσεως πρὸς τὸν λαόν, λέγετε". 16 ἀναστὰς δὲ ὁ Παῦλος καὶ κατασείσας τῇ χειρὶ εἶπεν· „Ἄνδρες Ἰσραηλῖται καὶ οἱ φοβούμενοι τὸν θεόν, ἀκούσατε. 17 ὁ θεὸς τοῦ λαοῦ τούτου ἐξελέξατο τοὺς πατέρας ἡμῶν, καὶ τὸν λαὸν ὕψωσεν
15 ἐν τῇ παροικίᾳ ἐν γῇ Αἰγύπτου, καὶ μετὰ βραχίονος ὑψηλοῦ ἐξήγαγεν αὐτοὺς ἐξ αὐτῆς, 18 καὶ ὡς τεσσερακονταετῆ χρόνον ἐτροποφόρησεν αὐτοὺς ἐν τῇ ἐρήμῳ, 19 καὶ καθελὼν ἔθνη ἑπτὰ ἐν γῇ Χαναὰν κατεκληρονόμησεν τὴν γῆν τῶν ἀλλοφύλων, 20 καὶ ὡς ἔτεσιν τετρακοσίοις καὶ πεντήκοντα ἔδω-
20 κεν κριτάς, ἕως Σαμουὴλ τοῦ προφήτου. 21 κἀκεῖθεν ᾐτήσαντο βασιλέα, καὶ ἔδωκεν αὐτοῖς [ὁ θεὸς] τὸν Σαοὺλ υἱὸν Κίς, ἄνδρα ἐκ φυλῆς Βενιαμίν, ἔτη τεσσεράκοντα, 22 καὶ μεταστήσας αὐτὸν ἤγειρεν αὐτοῖς Δαυὶδ τὸν υἱὸν Ἰεσσαί, ᾧ καὶ εἶπεν μαρτυρήσας· „Εὗρον Δαυὶδ τὸν τοῦ Ἰεσσαί,
25 ἄνδρα κατὰ τὴν καρδίαν μου, ὃς ποιήσει πάντα τὰ θελήματά μου". 23 †ὁ θεὸς οὖν ἀπὸ τοῦ σπέρματος αὐτοῦ κατ' ἐπαγγελίαν ἤγειρεν τῷ Ἰσραὴλ σωτῆρα Ἰησοῦν, 24 προκηρύξαντος Ἰωάνου πρὸ προσώπου τῆς εἰσόδου αὐτοῦ βάπτισμα μετανοίας παντὶ τῷ λαῷ Ἰσραήλ. 25 ὡς δὲ ἐπλήρου

1 τ. θ. add. D | 7 την ημετερα τω σαββατω D[1] | 10 λογου (-ος D[a]) σοφ. D, addidi ἢ | 11 ὁ add. D | 12 Ἰστρ. D | 14 τούτου] Ἰσραὴλ add. ℵACDg | καὶ τὸν] διὰ τὸν D[1]d | 15 ἐν τῇ γῇ D[1] | Αἰγύπτῳ CD | 16 ἔτη μ' (om. ὡς) D | 18 χαναaμ D | D pro αὐτῶν | 19 καὶ ἕως D[1] (om. μετὰ ταῦτα cum Syr. post.), om. ὡς Sch., *et per* g. In ℵABCv ὡς .. πεντ. sunt ante καὶ μετὰ ταῦτα. (An ἕως ἐτῶν τ-ων?) | 21 ὁ θεὸς om. g al. | 22 ἐκ φ. om. g | 23 αὐτοῖς h. l. ACE al. gv (*illis deus D.* g) w | τὸν ante Δ. om. D | τὸν υἱ. Ἰ. (cf. D 24) w pro εἰς βασιλέα. Cf. 21 | 24 τοῦ] υἱὸν D, cf. ad 23 | 26 D pro τούτου ὁ θ. ἀ. τ. σπ. (*David* add. w) | 27 ἤγειρεν CDg pro ἤγαγεν | σωτήριον g, σωτηρίαν om. Ἰ. HL | τὸν Ἰ. D | 28 *per bapt.* g | 29 Ἰσρ. om. sah,

Ἰωάνης τὸν δρόμον, ἔλεγεν· „Τίνα με ὑπονοεῖτε εἶναι, οὐκ εἰμὶ ἐγώ· ἀλλ' ἰδοὺ ἔρχεται μετ' ἐμέ, οὗ οὐκ εἰμὶ ἄξιος τὸ ὑπόδημα τῶν ποδῶν λῦσαι“. 26 ἄνδρες ἀδελφοί, υἱοὶ γένους Ἀβραὰμ καὶ τοῦ θεοῦ, καὶ οἱ ἐν ὑμῖν φοβούμενοι τὸν θεόν, ὑμῖν ὁ λόγος τῆς σωτηρίας ταύτης ἐξαπεστάλη. 5
27 οἱ γὰρ κατοικοῦντες ἐν Ἱερουσαλὴμ καὶ οἱ ἄρχοντες αὐτῆς, μὴ συνιέντες τὰς γραφὰς τῶν προφητῶν τὰς κατὰ πᾶν σάββατον ἀναγινωσκομένας, Λ ⟨τοῦτον⟩ ἀπεδοκίμασαν, 28 καὶ μηδεμίαν αἰτίαν θανάτου εὑρόντες ἐν αὐτῷ, κρίναντες αὐτὸν παρέδωκαν Πιλάτῳ εἰς ἀναίρεσιν, 29 καὶ 10
ἐτέλουν πάντα τὰ περὶ αὐτοῦ γεγραμμένα, ⟨καὶ⟩ ᾐτοῦντο τὸν Πιλᾶτον τοῦτον μὲν σταυρῶσαι, ..., καὶ ἐπιτυχόντες πάλιν ᾐτήσαντο †ἀπὸ τοῦ ξύλου καθελεῖν αὐτόν, καὶ καθελόντες Λ ἔθηκαν εἰς μνημεῖον· 30 ὃν ὁ θεὸς ἤγειρεν Λ. 31 οὗτος ὤφθη τοῖς συναναβᾶσιν αὐτῷ 15
ἀπὸ τῆς Γαλιλαίας εἰς Ἱερουσαλὴμ ἐφ' ἡμέρας πλείους, οἵτινες ἄχρι νῦν εἰσιν μάρτυρες αὐτοῦ πρὸς τὸν λαόν. 32 καὶ ἡμεῖς ὑμᾶς εὐαγγελιζόμεθα, τὴν πρὸς τοὺς πατέρας ἡμῶν γενομένην ἐπαγγελίαν, ὅτι ταύτην ὁ θεὸς ἐκπεπλήρωκεν τοῖς τέκνοις αὐτῶν, ἀναστήσας τὸν κύριον Ἰησοῦν χριστόν. 33 οὕ- 20
τως γὰρ ἐν τῷ πρώτῳ ψαλμῷ γέγραπται· „Υἱός μου εἶ σύ, ἐγὼ σήμερον γεγέννηκά σε. αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου, καὶ τὴν κατά-

contra παντὶ et λ. om. HLP (λ. et. A) | Ἰσρ.] *et remissionem peccatorum* add. w, it. sed *in r. p.* Prov. (Luc. III, 3)

2 ἐγώ] add. ὁ χριστός Eg | 4 add. w Prov. | ἡμῖν D | 5 ἡμῖν DℵABs | 6 αὐτῆς D¹vg recte pro αὐτῶν | 7 sq. D¹ pro τοῦτον ἀγνοήσαντες καὶ τὰς φωνὰς (γρ. et. E Sch.) | 8 delevi κρίναντες (καὶ κρ. D), cf. 9 | p *reprobaverunt* pro ἐπλήρωσαν; ipse τοῦτον (α 7) adieci | 9 ἐν α. add. Dsgpv | 9 sq. κρ. κτέ. D (ἵνα εἰς ἀν.) | 10 καὶ g pro ὡς δὲ | 11 D¹ (corr.ᵃ) pro ἐτέλεσαν | γεγρ. εἰσίν D¹ | 11 sqq. ᾐτοῦντο .. πάλιν D¹; cf. s (post γεγρ.): *postquam crucifixus esset, petierunt a Pilato ut de ligno detraherent eum. Impetraverunt* | 14 καὶ ante καθ. Dsg | ἀπὸ τ. ξ. hic om. s (qui add. *eum*), non Dg | καὶ ἔθ. D¹ | ὃν Dg | 15 αὐτὸν ἐκ νεκρῶν om. Dg | pro ὃς D sah | συναναβαίνουσιν D¹ | 16 ἐ. ἡ. πλ. (-ονας D¹) h. l. D | 17 ἄ. νῦν Dv Syr. post. (νῦν ACg, post εἰσιν ℵ, om. B al.) | 18 ἡμῶν add. DEgv | 19 pro ἐ. γεν. | 20 αὐτῶν g pro ἡμῶν (ita ℵABC¹Dv) vel α. ἡμῖν | D sah pro Ἰ. (Ms τὸν κ. ἡμῶν Ἰ.) | 20 sq. οὕτως γὰρ D pro ὡς καὶ (καὶ om. gpw) | 21 τ. (om. Orig.) πρ. ψ. D Orig. g; al. τ. ψ. τ. δευτέρῳ γέγρ. vel γ. τ. δ.; om. ἐν τ. πρ. ψ. w, fort. recte | 22 sqq. αἴτησαι .. γῆς add. Ds

σχεσίν σου τὰ πέρατα τῆς γῆς". 34 ὅτι δὲ ἀνέστησεν αὐτὸν ἐκ νεκρῶν μηκέτι μέλλοντα ὑποστρέφειν εἰς διαφθοράν, οὕτως εἴρηκεν, ὅτι „Δώσω ὑμῖν τὰ ὅσια Δαυὶδ τὰ πιστά". 35 καὶ Λ ἑτέρως λέγει· „Οὐ δώσεις τὸν ὅσιόν σου
5 ἰδεῖν διαφθοράν". 36 Δαυὶδ μὲν γὰρ ἰδίᾳ γενεᾷ ὑπηρετήσας τῇ τοῦ θεοῦ βουλῇ, ἐκοιμήθη καὶ προσετέθη πρὸς τοὺς πατέρας αὐτοῦ καὶ εἶδεν διαφθοράν· 37 ὃν δὲ ὁ θεὸς ἤγειρεν, οὐκ εἶδεν διαφθοράν. 38 γνωστὸν οὖν ἔστω ὑμῖν, ἄνδρες ἀδελφοί, ὅτι διὰ τούτου ὑμῖν ἄφεσις ἁμαρτιῶν κα-
10 ταγγέλλεται· 39 ἀπὸ πάντων ὧν οὐκ ἠδυνήθητε ἐν νόμῳ Μωϋσέως δικαιωθῆναι, ἐν τούτῳ πᾶς ὁ πιστεύων δικαιοῦται παρὰ θεῷ. 40 βλέπετε οὖν μὴ ἐπέλθῃ τὸ εἰρημένον ἐν τοῖς προφήταις· 41 „Ἴδετε, οἱ καταφρονηταί, καὶ θαυμάσατε καὶ ἀφανίσθητε, ὅτι ἔργον ἐργάζομαι ἐγὼ ἐν ταῖς ἡμέραις
15 ὑμῶν, ἔργον ὃ οὐ μὴ πιστεύσητε, ἐάν τις ἐκδιηγῆται ὑμῖν"". καὶ ἐσίγησεν. 42 Ἐξιόντων δὲ αὐτῶν, παρεκάλουν εἰς τὸ μεταξὺ σάββατον λαληθῆναι αὐτοῖς τὰ ῥήματα ταῦτα. 43 λυθείσης δὲ τῆς συναγωγῆς, ἠκολούθησαν πολλοὶ τῶν Ἰουδαίων καὶ τῶν σεβομένων προσηλύτων τῷ Παύλῳ καὶ Βαρ-
20 νάβᾳ, ἀξιοῦντες βαπτισθῆναι, οἵτινες προσλαλοῦντες αὐτοῖς ἔπειθον αὐτοὺς προσμένειν τῇ χάριτι τοῦ θεοῦ. ἐγένετο δὲ καθ' ὅλης τῆς πόλεως διελθεῖν τὸν λόγον, 44 τῷ τε ἐχομένῳ σαββάτῳ σχεδὸν πᾶσα ἡ πόλις συνήχθη ἀκοῦσαι Παύλου. 45 πολύν τε λόγον ποιησαμένου
25 περὶ τοῦ κυρίου, ἰδόντες Λ οἱ Ἰουδαῖοι τὸ πλῆθος ἐπλήσθησαν ζήλου, καὶ ἀντέλεγον τοῖς λόγοις τοῖς ὑπὸ Παύλου λαλουμένοις ἀντιταςςόμενοι καὶ βλασφημοῦντες. 46 παρ-

1 ὅτε Dg (Hilar., qui om. δὲ) | 4 διὸ (διότι) ante καὶ om. D | D pro ἐν ἑτέρῳ (*alias* gv) | 5 μὲν om. D | 9 καταγγ.] add. D καὶ μετάνοια, ead. s post ἁμαρτ. | 11 Μωσέως D | τ. οὖν Ds | 12 add. DM (π. τῷ θ.) s (*a deo*) | 15 ἔργον repet. om. DELPgp | ἐκδιηγήσεται D¹ | 16 add. D (-σαν) s | 17 D ἑξῆς pro μεταξὺ | τὰ om. D¹ | 19 τῷ ante Β. om. D | 20 ἀξ. β. add. Ms | 21 επιθοντ. D¹ (-το s. τε) | 22 ἐγέν. κτέ. add. D (qui male add. τοῦ θεοῦ) s Prov. w (w *diffamari*, unde E ἐ. δὲ κατὰ πᾶσαν πόλιν φημισθῆναι τ. λ.) | 23 δὲ D al. | male ἐρχ. DℵB al. | πᾶσα] ὅλη D | 24 D pro τ. λόγον τ. θεοῦ | 24 sq. πολὺν . . κυρ. D | 25 D καὶ ἰδ. pro ἰδ. δὲ; delevi καὶ | τὸ πλ. D sah pro τοὺς ὄχλους | 26 τοῖς λόγοις τοῖς E (g Sch.), τ. λόγοις D¹ (λ. τοῖς D²) | τοῦ Π. CD al., om. ὑπὸ Π. p | 27 λεγομένοις CD al. | ante βλ. add. ἀντιλέγοντες καὶ DIPp¹, ἐναντιόμενοι (sic) καὶ E, *resistentes et* g (= ἀντιτασσόμενοι, XVIII, 6) | π-αμενος D, cf. XIV, 14

ῥησιασάμενοι δὲ ὁ Παῦλος καὶ Βαρνάβας εἶπαν πρὸς αὐτούς·
„Ὑμῖν πρῶτον ἦν ἀναγκαῖον λαληθῆναι τὸν λόγον τοῦ θεοῦ·
ἐπειδὴ δὲ ἀπώϲαϲθε αὐτὸν καὶ οὐκ ἀξίους ἐκρίνατε ἑαυ-
τοὺς τῆς αἰωνίου ζωῆς, ἰδοὺ στρεφόμεθα εἰς τὰ ἔθνη.
47 οὕτως γὰρ εἴρηκεν διὰ τῆϲ γραφῆϲ ὁ κύριος· „Ἰδοὺ 5
Λ †φῶς τέθεικά σε τοῖς ἔθνεσιν, τοῦ εἶναί σε εἰς σωτη-
ρίαν ἕως ἐσχάτου τῆς γῆς““. 48 καὶ ἀκούοντα Λ τὰ ἔθνη
ἔχαιρον καὶ ἐδόξαζον τὸν λόγον τοῦ θεοῦ, καὶ ἐπίστευσαν
ὅσοι ἦσαν τεταγμένοι εἰς ζωὴν αἰώνιον, 49 καὶ διεφέρετο Λ
ὁ λόγος τοῦ κυρίου δι' ὅλης τῆς χώρας. 50 οἱ δὲ Ἰουδαῖοι 10
παρώτρυνάν τινας τῶν ϲεβομένων τὸν θεὸν γυναῖκας Λ
εὐσχήμονας καὶ τοὺς πρώτους τῆς πόλεως, καὶ ἐπήγειραν
θλῖψιν μεγάλην καὶ διωγμὸν ἐπὶ Παῦλον καὶ Βαρνάβαν,
καὶ ἐξέβαλον αὐτοὺς ἀπὸ τῶν ὁρίων αὐτῶν. 51 οἱ δὲ ἐκτι-
ναξάμενοι τὸν κονιορτὸν τῶν ποδῶν ἐπ' αὐτούς, κατήντη- 15
σαν εἰς Ἰκόνιον. 52 οἱ δὲ μαθηταὶ ἐπληροῦντο χαρᾶς καὶ
πνεύματος ἁγίου.

1 Ἐγένετο δὲ ἐν Ἰκονίῳ κατὰ τὸ αὐτὸ εἰσελθεῖν αὐτοὺς
εἰς τὴν συναγωγὴν τῶν Ἰουδαίων καὶ λαλῆσαι οὕτως πρὸς
αὐτούς, ὥστε πιστεῦσαι Ἰουδαίων τε καὶ Ἑλλήνων πολὺ 20
πλῆθος. 2 οἱ δὲ ἀρχισυνάγωγοι τῶν Ἰουδαίων καὶ οἱ
ἄρχοντες ἐπήγαγον διωγμὸν κατὰ τῶν δικαίων καὶ
ἐκάκωσαν τὰς ψυχὰς τῶν ἐθνῶν κατὰ τῶν ἀδελφῶν, ὁ δὲ
κύριος ἔδωκεν ταχὺ εἰρήνην. 3 ἱκανὸν μὲν οὖν χρό-
νον διέτριψαν παρρησιαζόμενοι ἐπὶ τῷ κυρίῳ τῷ μαρτυροῦντι 25

1 τε D cum ℵABC (*tunc* gpv) | ὁ ante *Β*. om. D | πρ. α. add. D | 2 πρῶτον h. l. D Cypr. Prom. | ἀναγκ. om. D | λαλ.] *in iudea* add. p^1 | 3 δὲ om. ℵ^{1}BD^1 | *repulistis* gpw Cypr. Prom. al. pro ἀπωθεῖσθε (et. D) | κρείνατε i. e. ἐκρίνατε D^1, ἐκρ. gpw Cypr. Prom. al. pro κρίνετε | 5 Cypr. pro ἐντέταλται (at D^1 -κεν) ἡμῖν (om. D^1) | ἰδοὺ add. DE Cypr. | 6 φῶς h. l. D^1 Cypr. (om. εἰς c. g) | τ. ἔθν. Dgw al. lat. (*inter gentes* = ἐν τ. ἔθν. Cypr.; *gentibus* post σωτ. add. s) | 7 Dg pro ἀκ. δὲ (δὲ om. p) | 8 ἐδέξαντο Dg August. | 9 Dp^2 pro δ. δὲ (δὲ om. p) | 11 παρώτρυνον D | g pro τὰς σεβομένας γ. τὰς | 13 add. DE (μεγ. om. E), cf. VIII, 1 | τὸν ante *Π*. om. D | 15 π. αὐτῶν DELPg | ἐπ' α. om. w | D pro ἦλθον | 18 αὐτοὺς] αὐτὸν D | 19sq. add. D (E ante οὕτ.), cf. Sch. | 20 πιστεύειν D | 21sq. D (add. τῆς συναγωγῆς post ἄρχοντες; om. τ. σ. s) s | 22 ἐπήγαγον D (add. αὐτοῖς) pro ἐπήγειραν (12) | διωγμ. add. DEgw Syr. post. | κ. τ. δ. D | 23sq. Dsgpw (E ὁ δὲ κ. εἰ. ἐποίησεν, cf. cod. Dubl. ap. Berger., *fecit inter illos*) | 25 διατρίψαντες Dg (gw om. δὲ

τῷ λόγῳ τῆς χάριτος αὐτοῦ, διδόντι σημεῖα καὶ τέρατα γί-
νεσθαι διὰ τῶν χειρῶν αὐτῶν. 4 ἦν δὲ ἐσχισμένον τὸ
πλῆθος τῆς πόλεως, καὶ οἱ μὲν ἦσαν σὺν τοῖς Ἰουδαίοις,
ἄλλοι δὲ σὺν τοῖς ἀποστόλοις, κολλώμενοι διὰ τὸν λό-
5 γον τοῦ θεοῦ. 5 καὶ πάλιν ἐπήγειραν διωγμὸν
ἐκ δευτέρου οἱ Ἰουδαῖοι σὺν τοῖς ἔθνεσιν, καὶ λι-
θοβολήσαντες ἐξέβαλον αὐτοὺς ἐκ τῆς πόλεως,
6 καὶ φυγόντες ἦλθον εἰς τὴν Λυκαονίαν, εἰς πόλιν
τινὰ καλουμένην *Λύστραν, καὶ Δέρβην, καὶ τὴν περί-*
10 *χωρον ὅλην, 7 κἀκεῖ εὐαγγελιζόμενοι ἦσαν, καὶ ἐκινήθη*
ὅλον τὸ πλῆθος ἐπὶ τῇ διδαχῇ. ὁ δὲ Παῦλος καὶ
Βαρνάβας διέτριβον †*ἐν Λύστροις.* 8 καὶ [ἐκεῖ] ἦν
τις ἀσθενὴς καθήμενος ἀδύνατος τοῖς ποσίν, †ὃς ἐκ
κοιλίας μητρὸς ∧ *οὐδέποτε περιεπάτησεν, ὑπάρχων ἐν*
15 *φόβῳ* τοῦ θεοῦ. 9 *οὗτος* ἡδέως ἀκούσας *τοῦ Παύλου*
λαλοῦντος ἐπίστευσεν. ∧ *ἀτενίσας δὲ αὐτῷ ὁ Παῦλος καὶ*
ἰδὼν ὅτι ἔχει πίστιν τοῦ σωθῆναι, 10 *εἶπεν μεγάλῃ τῇ φωνῇ·*
„Σοὶ λέγω, ἐν τῷ ὀνόματι τοῦ κυρίου Ἰησοῦ χρι-
στοῦ, ἀνάστηθι ἐπὶ τοὺς πόδας σου ὀρθὸς καὶ περιπά-
20 *τει“. καὶ εὐθέως παραχρῆμα ἀνήλατο καὶ περιεπάτει.*
11 οἱ δὲ ὄχλοι ἰδόντες ὃ ἐποίησεν Παῦλος, ἐπῆραν τὴν φωνὴν
αὐτῶν Λυκαονιστὶ λέγοντες· „Οἱ θεοὶ ὁμοιωθέντες ἀνθρώ-

p. 46, 2); *ἐκεῖ* add. Esg al.) | *παρησιαμενοι* D[1], *-σιασάμ.* D[a]g (g praem. *καὶ*)

2 D Sch. pro *ἐσχίσθη δὲ* | 4 D pro *οἱ* | 4 sq. *κολλώμενοι..θεοῦ* Ds | 5 sq. *καὶ..λιθ.* s | 7 sq. *ἐξέβαλον..ἦλθον* s (f, cuius hic incip. novum frg. [usque ad v. 23], habet *eduxe]runt eos,* sequente lac. magna) | 8 sq. s (f *in Lycaoniae civita[tem quandam quae vocatur Lys]tra*) | 10 *ὅλην* add. DE(fv) | 10 sq. *καὶ..διδ.* Df (f *genus*; *doctrina eorum*) w (*eorum*) Prov. (p mg.); it. E *τὸν λόγον τοῦ θεοῦ, καὶ ἐξεπλήσσετο πᾶσα ἡ πολυπλήθεια ἐπὶ τῇ δ. αὐτῶν* | 11 sq. *ὁ..Λ.* DEfw Prov. (p mg., sed eras.) | 12 sqq. f (*et] illic*); *ἐν Λ.* hic om et. D, *χωλὸς* (v. III, 2) Dg om.; ex III, 2 fort. et. *ἐκ κοιλίας κτέ.* fluxerint | 14 *περιπεπατήκει* DEHLPf | 14 sq. *ὑ. ἐν φ. τ. θ.* f; *ὑπ. ἐν φ.* et. D, sed infra post *λαλοῦντος* | 15 *ἡδέως* add. f | *ἀκούσας* sec. g (*ἤκουσεν* Dfא al.) pro *ἤκουεν* | 16 *ἐπ.* g | D pro *ὃς ἀτ. α.*, cf. f (in quo male integra haec servata sunt); *Paul.* et. g | 17 *τῇ* om. אBCD[1] | 18 *σοὶ κτέ.* add. DCEs Sch. sah f (cf. w Prov.); *τῷ* om. E, *I.* [*Chr. dni nostri*] f, et *ἡμῶν* et. E sah add., cf. Iren. p. 487 | 19 *καὶ π.* add. Dsf | 20 *εὐθ. π.* add. Ds (*παρ.* E, *confestim* f) | *ἀνήλατο* D[1] (*-λλατο* D[2]) gv(f) pro *ἥλατο* (*ἐξήλ.* E) | *περ.*] add. Prov. *laudans deum* (III, 8 sq.) | 21 *τὴν* om. D | 22 *τοῖς ἀνθρ.* D

ποις κατέβησαν πρὸς ἡμᾶς", 12 ἐκάλουν τε Βαρνάβαν Δία,
τὸν δὲ Παῦλον Ἑρμῆν [, ἐπειδὴ αὐτὸς ἦν ὁ ἡγούμενος τοῦ
λόγου]. 13 ὅ τε ἱερεὺς τοῦ ὄντος Διὸς πρὸ πόλεως, ταύρους
καὶ στέμματα ἐπὶ τοὺς πυλῶνας ἐνέγκας, σὺν τοῖς ὄχλοις
ἤθελεν θύειν. 14 ἀκούσαντες δὲ Βαρνάβας καὶ Παῦλος, 5
διαρρήξαντες τὰ ἱμάτια αὐτῶν ἐξεπήδησαν εἰς τὸν ὄχλον,
κράζοντες 15 καὶ λέγοντες· „Ἄνδρες, τί ταῦτα ποιεῖτε; ∧ ἡμεῖς
ὁμοιοπαθεῖς ἐσμεν ὑμῖν ἄνθρωποι, εὐαγγελιζόμενοι ὑμῖν τὸν
θεόν, ὅπως ἀπὸ τούτων τῶν ματαίων ἐπιστρέψητε ἐπὶ ∧
τὸν ποιήσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὴν θάλασ- 10
σαν καὶ πάντα τὰ ἐν αὐτοῖς, 16 ὃς ἐν ταῖς παρῳχημέναις
γενεαῖς εἴασεν πάντα τὰ ἔθνη τῶν ἀνθρώπων πορεύεσθαι
ταῖς ὁδοῖς αὐτῶν, 17 καίτοι οὐκ ἀμάρτυρον ἀφῆκεν ἑαυτόν
ἀγαθουργῶν, οὐρανόθεν ὑμῖν ὑετοὺς διδοὺς καὶ καιροὺς
καρποφόρους, ἐμπιπλῶν τροφῆς καὶ εὐφροσύνης τὰς καρδίας 15
ὑμῶν". 18 καὶ ταῦτα λέγοντες μόγις ἔπειсαν †τοῦ μὴ
θύειν αὐτοῖс τοὺс ἀνθρώπουс, ἀλλὰ ἀποсτῆναι αὐ-
τοὺс ἀπ' αὐτῶν ⟨καὶ⟩ πορεύεσθαι ἕκαστον εἰς τὰ
ἴδια. 19 διατριβόντων δὲ αὐτῶν καὶ διδασκόντων,
ἐπῆλθάν τινες †Ἰουδαῖοι ἀπὸ †Ἰκονίου καὶ Ἀντιοχείας, καὶ 20

1 τε] δὲ Dg | τὸν ante *B.* om. D | Δίαν D al. | 2sq. ἐπειδὴ..λόγου om. f, cf XVII, 18. XVIII, 3 | ὁ ante ἡγ. om. DC[1] | 3. 4. 5 οἱ δὲ ἱερεῖς..ἐνέγκαντες..ἤθελον Dg (non f); δὲ et. E al. | 3 D pro τοῦ Δ. τ. ὄ. πρὸ τῆς π. (cf. Ramsay Church in Rom. empire p. 51sq.), cf. g *qui erant Iovis* (= οἱ ὄντες Διὸς) *ante civit. ad portam tauros* e. q. s. (male mutilatus f: [*Iovis qui*] *in* [*p*]*or* .... *ci*[*vitatis*] *erat* — — — *tauros*) | αὐτοῖς post τ. D, post στ. 4 E, post ἐν. g, post θύειν w Prov. | 5 ἐπιθύειν D | ἀκούσας D, cf. XIII, 46 | οἱ ἀπόστολοι post δὲ (recte) om. Dfg Sch. | ταῦτα add. f | 6 καὶ ἐξεπ. D[1], cf. d (*con*[*festim ex*]*sil*[*ierunt discissis vestibu*]*s ad plebem* f) | 7 καὶ λ. om. g, καὶ φωνοῦντες D[1] ([*et clamante*]*s dice*[*bant* f) | καὶ ante ἡμ. om. Dfg Ir. | 8sq. D Ir. (f?) pro ὑμᾶς | 9 ὅπως..ἐπιστρέψητε D (E ἵνα ..-φητε) fg Ir. | 9sq. ἐπὶ τ. π. f, ἐπὶ τὸν (τὸν del. D[2]) θ. ζῶντα (*et verum* add. wp[2]) τ. π. D[1] | 11 ὃς] ὁ D | 12 πάντα] κατα D[1] | τῶν ἀνθρ. add. f | 13 καίγε DE (καίτοιγε ℵ[1] al.) | *invi*]*sibilem* f | ἑαυτὸν h. l. Df | 14 *sed magis benefecit dans* f | ἀγαθοποιῶν DELP al. | 15 τὰς om. D[1] | 16 εἰπόντες s | D pro μόλις | 16sq. ἔπεισαν..ἀνθρ. f | 17sqq. ἀλλὰ πορεύεσθαι ἕκ. ε. τ. ἴ. C min. multi s, *et discedere*] *eos ab se* f, quae coniunxi | 19 διατρ. δὲ (δὲ om. D[1]) κ. δ. CDEs (f Cassiod.) | 20 τινες (αὐτοῖς s)..'Α. Dsf (cf. Ev) | 20sq. καὶ δ. α. (διαλεγόμενοι s) π. C min. s (... *palam* [= παρρ., Ioh. VII, 4] *disputabant verbum dei* f)

διαλεγομένων αὐτῶν παρρησίᾳ, ἔπειθον τοὺς ὄχλους μὴ πιστεύειν αὐτοῖς διδάσκουσιν, λέγοντες ὅτι οὐδὲν ἀληθὲς λέγουσιν, ἀλλὰ πάντα ψεύδονται. καὶ ἐπέσεισαν τοὺς ὄχλους Λ λιθάσαι τὸν Παῦλον, ὃν σύραν-
5 τες ἔξω τῆς πόλεως ἐνόμισαν †τεθνάναι αὐτόν. 20 τότε ἐκύκλωσαν †αὐτὸν οἱ μαθηταί, καὶ ἀπελθόντος τοῦ ὄχλου, ἑσπέρας μόγις ἀναστὰς εἰσῆλθεν εἰς τὴν πόλιν, καὶ τῇ ἐπαύριον ἐξῆλθεν σὺν τῷ Βαρνάβᾳ εἰς Δέρβην. 21 εὐαγγελισάμενοι δὲ τοὺς ἐν τῇ πόλει καὶ μαθητεύσαντες
10 πολλούς, ὑπέστρεψαν εἰς Λύστραν καὶ εἰς Ἰκόνιον καὶ εἰς Ἀντιόχειαν, 22 ἐπιστηρίζοντες τὰς ψυχὰς τῶν μαθητῶν, παρακαλοῦντές τε αὐτοὺς ἐμμένειν τῇ πίστει, λέγοντες ὅτι διὰ πολλῶν θλίψεων δεῖ ἡμᾶς εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ θεοῦ. 23 χειροτονήσαντες δὲ αὐτοῖς κατὰ ἐκκλησίαν
15 πρεσβυτέρους, προσευξάμενοι μετὰ νηστειῶν παρέθεντο αὐτοὺς τῷ κυρίῳ εἰς ὃν πεπιστεύκεισαν. 24 διελθόντες δὲ τὴν Πισιδίαν ἦλθον εἰς Παμφυλίαν, 25 καὶ λαλήσαντες εἰς Πέργην τὸν λόγον κατέβησαν εἰς Ἀττάλειαν, εὐαγγελιζόμενοι αὐτούς, 26 κἀκεῖθεν ἀπέπλευσαν εἰς Ἀντιόχειαν, ὅθεν ἦσαν
20 παραδεδομένοι τῇ χάριτι τοῦ θεοῦ εἰς τὸ ἔργον ὃ ἐπλήρωσαν. 27 παραγενόμενοι δὲ καὶ συνάξαντες τὴν ἐκκλησίαν, ἀνήγγειλαν ὅσα ὁ θεὸς ἐποίησεν μετὰ τῶν ψυχῶν αὐτῶν[, καὶ ὅτι ἤνοιξεν τοῖς ἔθνεσιν θύραν πίστεως]. 28 διέτριβον δὲ χρόνον οὐκ ὀλίγον σὺν τοῖς μαθηταῖς.

1sqq. eid. ἔπεισαν (ἔπειθον f) τ. ὄ. (*illos ho*]*mines* f) ἀποστῆναι ἀπ' αὐτῶν (v. supra v. 18; f *ne crederent eis docentibus*), λέγοντες . . ψεύδονται (it. f) | 3sq. καὶ επεισεισαντες τ. ὄ. D, om. C al., sed f *et concita*]*verunt turbam* | 4sq. λιθάσαι . . ἐνόμ. f | 5 τεθνάναι α. D (*eum esse* [*m.*] f) | 5sqq. τότε . . ἑσπ. f (ad ἑσπ. cf. sah) | 7 μόγις add. p² | τ. Λύστραν πόλιν D, *civita*]*tem L.* f | 8 καὶ τὴν D¹ | σὺν D²; D¹? | 9 εὐαγγελιζόμενοι ADEHP, recte si deleatur δὲ (DE sah) vel τε (rell.; *et bene nunciavit* . . *et* f) post εὐ. | Df pro τὴν πόλιν ἐκείνην | 10 D pro ἱκανούς | *tunc reversi sunt* f; ὑπέστρεφον D | τὴν ante Λ. om. D | εἰς bis om. DHLP | 12 τε αὐτοὺς f | ἔλεγον pro καὶ w(f), *dicentes* ante ὅτι s* | 13 δεήσει ὑμᾶς sec. f | 14 καὶ ἐχειροτόνησαν sec. f, cf. D 15 | 15 προσ. δὲ D | 16 πεπιστεύκασιν D(gv) | δ. δὲ pro καὶ δ. D | 16sq. ἀπὸ τῆς Πισιδίας sec. g, cf. XIII, 14 | 17 ἐν Πέργῃ BCD | 18 λόγ. τοῦ κυρίου ℵACsv, λ. τ. θεοῦ Eg | 18sq. add. Ds | 21 D pro συναγαγόντες | ἀνήγγειλον D, -ελλον ℵABC | 22 ὁ θ. ἐπ. (αὐτοῖς add. D¹) pro ἐπ. ὁ θ. ℵD, cf. XV, 4. 7 | τ. ψ. add. Dg | 22sq. v. ad p. 49, 18.

1 *Καί τινες κατελθόντες ἀπὸ τῆς Ἰουδαίας, τῶν πε-* **15**
πιστευκότων ἀπὸ τῆς αἱρέσεως τῶν Φαρισαίων, ἐδί-
δασκον τοὺς ἀδελφούς, ὅτι „ἐὰν μὴ περιτμηθῆτε τῷ ἔθει
τῷ Μωϋσέως καὶ τοῖς ἄλλοις ἅπασιν οἷς διετάξατο
περιπατῆτε, οὐ δύνασθε σωθῆναι“. 2 **ἐγένετο δὲ *στά-* 5
*σις καὶ *ζήτησις οὐκ ὀλίγη τῷ Παύλῳ καὶ Βαρνάβᾳ πρὸς*
αὐτούς· ἔλεγεν γὰρ ὁ Παῦλος μένειν ἕκαϲτον *οὕτως*
καθὼς ἐπίϲτευϲεν *διισχυριζόμενος. οἱ δὲ ἐληλυ-*
θότες ἀπὸ Ἰερουσαλὴμ παρήγγειλαν αὐτοῖς ἀναβαί-
νειν ΛΛ *πρὸς τοὺς ἀποστόλους καὶ πρεσβυτέρους εἰς Ἰερου-* 10
σαλήμ, ὅπως κριθῶσιν ἐπ' αὐτῶν περὶ τοῦ ζητήματος
τούτου. 3 *οἱ μὲν οὖν προπεμφθέντες ὑπὸ τῆς ἐκκλησίας*
διήρχοντο τήν τε Φοινίκην καὶ Σαμάρειαν, ἐκδιηγούμενοι
τὴν ἐπιστροφὴν τῶν ἐθνῶν, καὶ ἐποίουν χαρὰν μεγάλην
πᾶσιν τοῖς ἀδελφοῖς. 4 *παραγενόμενοι δὲ εἰς Ἰερουσαλήμ,* 15
ἀπεδέχθησαν μεγάλως ὑπὸ τῆς ἐκκλησίας καὶ τῶν ἀποστό-
λων καὶ τῶν πρεσβυτέρων, ἀπήγγειλάν τε ὅσα ἐποίησεν ὁ
θεὸς μετ' αὐτῶν, καὶ ὅτι ἤνοιξεν τοῖς ἔθνεσιν θύραν πίστεως.
5 *οἱ δὲ παραγγείλαντες αὐτοῖς ἀναβαίνειν πρὸς*
τοὺς πρεσβυτέρους †ἐξανέστησαν λέγοντες, ὅτι δεῖ περι- 20
τέμνειν αὐτοὺς παραγγέλλειν τε τηρεῖν τὸν νόμον Μωϋσέως.
6 *συνήχθησαν δὲ οἱ ἀπόστολοι καὶ πρεσβύτεροι σὺν τῷ*
πλήθει ἰδεῖν περὶ τοῦ λόγου τούτου. 7 *πολλῆς δὲ συνζητή-*

1sq. add. M min. 8 s | 4 *τῷ* om. D cum EHLP (Const.) | *Μωσέως* D | 4sq. *καὶ* .. *περ.* add. Const. p. 169, *καὶ* (sed ante *τῷ ἔθ.* 3) et *περιπ.* et. Ds (sah),; cf. praef. (pars codd. Const. *ἔθεσιν* pro *ἅπ.*) | 5sq. *ἐγένετο δὲ στάσις κ. ζήτησις οὐκ ὀλίγη* scripsi; D enim et rell. ut α (*δε εκτασεως* D) | 6 *τῷ* ante *Β.* om. DE | 6sq. *σὺν αὐτοῖς* D, cf. Ioh. III, 25 | 7sq. *ἔλεγεν* .. *ἐπ.* Dsgw Prov. (*docebant enim P. et B.* w; *μένειν* D, *μ. αὐτοὺς* gPr., *μ. ἕκαστον* w, quod recepi coll. I Cor. 7, 17. 20; *ἐπίστευσαν* Dg, *τις ἐ-εν* s, *ἕ-εν* w) | 8sq. *διισχ. κτἑ.* Ds (*αὐτοῖς* om. s, add. *τότε* et cum D ex α *τῷ Π. καὶ Β. καί τισιν ἄλλοις*) | 11 add. D (*αὐτοῖς* D[1]) M (s post *τούτου* 12) | 13 *καὶ τὴν Σ.* DH | 16 *παρεδόθ.* D[1], *παρεδέχθ.* D[b] cum ℵAB male | add. CDMs sah Cassiod. | 17 *ἀπ.* D pro *ἀν.* | 17sq. DMg pro *ὁ θ. ἐπ.*, cf. XIV, 27 | 18 add. post *αὐτῶν* C[8]HL *καὶ ὅτι* .. *πίστεως*, = XIV, 27, sed recte hic, unde illic delenda | 19sq. *οἱ κτἑ.* Ds | 20 post *ἐξαν.* male s *adversus apostolos* | *λέγ.* om. s | ante *ὅτι* D (sim. s) ex α *τινες ἀπὸ τῆς αἱρέσεως τῶν Φ. πεπιστευκότες* | 21 *τε*] *δὲ* D | *Μωσέως* D | 22 *οἱ* ante *πρ.* om. D | 22sq. add. Ms | 23sq. *πολλῆς* .. *γεν.*] *et cum diu haesitarent* (i. e. *ἀπορεῖν* s. *διαπορ.*) g, *ἄλλων δὲ ἄλλο τι λεγόντων* (cf. XIX, 22. XXI, 34) Const.

σεως γενομένης, ἀναστὰς Πέτρος ἐν πνεύματι ἁγίῳ εἶπεν πρὸς αὐτούς· „Ἄνδρες ἀδελφοί, ὑμεῖς ἐπίστασθε ὅτι ἀφ' ἡμερῶν ἀρχαίων ἐν ἡμῖν ὁ θεὸς ἐξελέξατο διὰ τοῦ στόματός μου ἀκοῦσαι τὰ ἔθνη τὸν λόγον τοῦ εὐαγγελίου καὶ πιστεῦσαι.
5 8 *ὁ δὲ καρδιογνώστης θεὸς ἐμαρτύρησεν αὐτοῖς, δοὺς τὸ πνεῦμα τὸ ἅγιον καθὼς καὶ ἡμῖν,* 9 *καὶ οὐδὲν διέκρινεν μεταξὺ ἡμῶν καὶ αὐτῶν, τῇ πίστει καθαρίσας τὰς καρδίας αὐτῶν.* 10 *νῦν οὖν* ὑμεῖς *τί πειράζετε τὸν θεόν, ἐπιθεῖναι ζυγὸν ἐπὶ τὸν τράχηλον τῶν μαθητῶν, ὃν οὔτε οἱ πατέρες*
10 *ἡμῶν οὔτε ἡμεῖς ἰσχύσαμεν βαστάσαι;* 11 *ἀλλ' ἢ διὰ τῆς χάριτος τοῦ κυρίου Ἰησοῦ πιστεύομεν σωθῆναι, καθ' ὃν τρόπον κἀκεῖνοι".* 12 *συγκατατιθεμένων δὲ τῶν πρεσβυτέρων τοῖς ὑπὸ τοῦ Πέτρου εἰρημένοις, ἐσίγησεν* Λ *πᾶν τὸ πλῆθος, καὶ ἤκουον Βαρνάβα καὶ Παύλου*
15 *ἐξηγουμένων, ὅσα ἐποίησεν ὁ θεὸς σημεῖα καὶ τέρατα ἐν τοῖς ἔθνεσιν δι' αὐτῶν.* 13 *μετὰ δὲ τὸ σιγῆσαι αὐτούς, ἀπεκρίθη Ἰάκωβος λέγων· „Ἄνδρες ἀδελφοί, ἀκούσατέ μου.* 14 *Συμεὼν ἐξηγήσατο, καθὼς πρῶτον ὁ θεὸς ἐπεσκέψατο λαβεῖν ἐξ ἐθνῶν λαὸν τῷ ὀνόματι αὐτοῦ.* 15 *καὶ τούτῳ*
20 *συμφωνοῦσιν οἱ λόγοι τῶν προφητῶν, καθὼς γέγραπται·* 16 *„Μετὰ δὲ ταῦτα ἐπιστρέψω καὶ ἀνοικοδομήσω τὴν σκηνὴν Δαυὶδ τὴν πεπτωκυῖαν, καὶ τὰ κατεσκαμμένα αὐτῆς ἀνοικοδομήσω καὶ ἀνορθώσω αὐτήν,* 17 *ὅπως ἂν ἐκζητήσωσιν οἱ κατάλοιποι τῶν ἀνθρώπων τὸν θεόν, καὶ πάντα τὰ ἔθνη,*
25 *ἐφ' οὓς ἐπικέκληται τὸ ὄνομά μου ἐπ' αὐτούς, λέγει κύριος ποιῶν ταῦτα".* 18 *γνωστὸν ἀπ' αἰῶνός ἐστιν τῷ κυρίῳ τὸ ἔργον αὐτοῦ.* 19 *διὸ ἐγὼ* τὸ κατ' ἐμὲ *κρίνω μὴ παρενοχλεῖν*

1 add. Ms (*ανεστησεν ἐν πν. Π. καὶ εἶπεν* D^1) | 3 *ἐν* om. D^1 (non d, add. ^{a}) M | *ὁ θ.* h. l. Dg Iren. | *τοῦ* om. D^{1}E | 5 *ὁ δὲ* D pro *καὶ* (om. p^{1}w) *ὁ* | *ὁ θ.* D | *δον* (*δοὺς* D^2) *ἐπ' αὐτοὺς* D, *δ. αὐτοῖς* CEv al. | 7 *τε* ante *καὶ* om. D | 8 add. s | *τ. θ.* om. lat. quidam et codex et patres, recte fort. | 10 *ἀλλ' ἢ* pro *ἀλλὰ* (Luc. XII, 51) Const., cf. p. 51, 1 | 11 *Ἰησ. χρ.* CDg Ir. (et. *Ἰησ.* om. Const.) | *πιστεύσομεν* D^1; add. *nos posse* Iren. | 12 sq. add. Ds (*συνκατατεθ.* D^1, *assensissent* s) | 14 *δὲ* om. D | 14 sq. *Βαρνάβαν κ. Παῦλον ἐξηγούμενοι* D^1 | 17 pro *ἀπ. Ἰ. λ.* D Sch. *ἀναστὰς Ἰ. εἶπεν*, ex v. 7? | *ἀκ. μου* (cf. IV, 8) et 18 *πρ.* om. Iren. | 19 *καὶ οὕτως* D^{1}g Ir. (cod. w Const.) | 20 *συμφωνήσουσιν* D^1 (non d) | 21 *δὲ* add. D | pro *ἀναστρ.* D | 24 pro *κύριον* D | 26 pro *ποιῶν* D^1 *ποιήσει* | *ἐστιν* add. DE Iren. | 27 add. Ir. (*secundum me*), cf. Rom. I, 15

τοῖς ἀπὸ τῶν ἐθνῶν ἐπιστρέφουσιν ἐπὶ τὸν θεόν, 20 ἀλλ' ἢ ἐπιστεῖλαι αὐτοῖς τοῦ ἀπέχεσθαι τῶν ἀλισγημάτων, τῶν εἰδώλων καὶ τῆς πορνείας ∧ καὶ τοῦ αἵματος, καὶ ὅσα μὴ θέλουσιν ἑαυτοῖς γίνεσθαι, ἑτέροις μὴ ποιεῖν. 21 [Μωϋσῆς γὰρ ἐκ γενεῶν ἀρχαίων κατὰ πόλιν τοὺς κηρύσσοντας αὐτὸν ἔχει, ἐν ταῖς συναγωγαῖς κατὰ πᾶν σάββατον ἀναγινωσκόμενος.]" 22 Τότε ἔδοξεν τοῖς ἀποστόλοις καὶ τοῖς πρεσβυτέροις σὺν ὅλῃ τῇ ἐκκλησίᾳ, ἐκλεξαμένους ἄνδρας ἐξ αὐτῶν πέμψαι εἰς Ἀντιόχειαν σὺν τῷ Παύλῳ καὶ Βαρνάβᾳ, Ἰούδαν τὸν καλούμενον Βαρσαββᾶν καὶ Σιλᾶν, ἄνδρας ἡγουμένους ἐν τοῖς ἀδελφοῖς, 23 γράψαντες διὰ χειρὸς αὐτῶν ἐπιστολὴν περιέχουσαν τάδε· „Οἱ ἀπόστολοι καὶ οἱ πρεσβύτεροι ἀδελφοῖς τοῖς κατὰ τὴν Ἀντιόχειαν καὶ Συρίαν καὶ Κιλικίαν [ἀδελφοῖς] τοῖς ἐξ ἐθνῶν χαίρειν. 24 ἐπειδὴ ἠκούσαμεν ὅτι τινὲς ἐξ ἡμῶν ἐξελθόντες ἐτάραξαν ὑμᾶς λόγοις ἀνασκευάζοντες τὰς ψυχὰς ὑμῶν, οἷς οὐ διεστειλάμεθα, λέγοντες περιτέμνεσθαι καὶ τηρεῖν τὸν νόμον, 25 ἔδοξεν ἡμῖν γενομένοις ὁμοθυμαδόν, ἐκλεξαμένους ἄνδρας πέμψαι πρὸς ὑμᾶς σὺν τοῖς ἀγαπητοῖς ἡμῶν Βαρνάβᾳ καὶ Παύλῳ, 26 ἀνθρώποις παραδεδωκόσιν τὴν ψυχὴν αὐτῶν ὑπὲρ τοῦ ὀνόματος τοῦ κυρίου ἡμῶν Ἰησοῦ χριστοῦ εἰς πάντα πειρασμόν. 27 ἀπεστάλκαμεν οὖν Ἰούδαν καὶ Σιλᾶν, καὶ αὐτοὺς διὰ λόγου ἀπαγγελοῦντας τὰ αὐτά. 28 ἔδοξεν γὰρ τῷ ἁγίῳ πνεύματι καὶ ἡμῖν, μηδὲν πλέον ἐπιτίθεσθαι ὑμῖν βάρος πλὴν τούτων τῶν ἐπάναγκες, 29 ἀπέχεσθαι εἰδωλοθύτων καὶ αἵματος ∧ καὶ πορνείας, καὶ ὅσα μὴ θέλετε

1 ἀλλ' ἢ pro ἀλλὰ Const., cf. p. 50, 10) | 3 καὶ τοῦ πνικτοῦ om Dg Iren., cf. v. 29. XXI, 26 | 3 sq. καὶ κτέ. add. D minusc. quid· sahid Iren. (ὅσα ἂν μὴ θέλωσιν minusc.; ποιεῖτε D, cf. v. 29) | 4—6 Μωϋσῆς . . ἀναγ. om. Iren., v. praef. | 6 ἔχει D[1] et post πόλιν 5 et post αὐτὸν; hoc loco del. D[2] | 7 τότε] cf. praefat. ibd. de Iren. | εδοξασεν D[1] | 8 sq. ἐξ αὐτῶν om. Ag Cassiod. | 9 τῷ om. DHLP | 10 Βαραββαν D | 12 ἐ. π. τ. CD (ἐπ. ante διὰ 11) gw (s sah), τάδε et. ℵ[c]EHLP Const. | 13 ἀδελφοῖς pro -οὶ recte sah Orig., om. ἀδ. 14 (quod post ἐθν. hab. D) | 15 post ἐξ. s add. *profecti sunt ad vos et* | ἐξετάρ. D[1] | 17 add. CEHLP (g Iren. -σθε et τηρεῖτε) | 19 ὑμῶν D | 20 -κασιν D | pro τὰς ψυχὰς D Iren. | 21 sq. add. DEMs | 23 pro -έλλοντας D | ταυτα D[1], corr. [b] (ταῦτα sah Syr. post.), *nostram sententiam* Ir. | 24 τῷ ἀγ. πν. CDE al. g Ir. Cypr. Const. pro τ. πν. τ. ἀγ. | 24 πλέον om. Cypr. | τῶν om. D[1] | 26 καὶ πνικτῶν om. D Iren. Tert. Cypr. August. (c. Faust. 772 Z.) al., cf. supr. 3 | 26 sq. add. Ds sah pw[2] Iren. Cypr. (*vobis fieri*

ἑαυτοῖς γίνεσθαι, ἑτέρῳ μὴ ποιεῖν, ἀφ' ὧν διατηροῦντες ἑαυτοὺς εὖ πράξετε, φερόμενοι ἐν τῷ ἁγίῳ πνεύματι. [ἔρρωσθε.]" 30 Οἱ μὲν οὖν ἀπολυθέντες ἐν ἡμέραις ὀλίγαις κατῆλθον εἰς Ἀντιόχειαν, καὶ συναγαγόντες
5 τὸ πλῆθος ἐπέδωκαν τὴν ἐπιστολήν· 31 ἀναγνόντες δὲ ἐχάρησαν ἐπὶ τῇ παρακλήσει. 32 Ἰούδας δὲ καὶ Σιλᾶς καὶ αὐτοί, προφῆται ὄντες πλήρεις πνεύματος ἁγίου, διὰ λόγου πολλοῦ παρεκάλεσαν τοὺς ἀδελφοὺς καὶ ἐπεστήριξαν. 33 ποιήσαντες δὲ χρόνον, ἀπελύθησαν μετ' εἰρήνης ἀπὸ τῶν
10 ἀδελφῶν πρὸς τοὺς ἀποστείλαντας αὐτούς. 34 ἔδοξεν δὲ τῷ Σιλᾷ ἐπιμεῖναι αὐτοῦ· μόνος δὲ Ἰούδας ἐπορεύθη.

35 Ὁ δὲ Παῦλος καὶ Βαρνάβας διέτριβον ἐν Ἀντιοχείᾳ διδάσκοντες καὶ εὐαγγελιζόμενοι, μετὰ καὶ ἑτέρων πολλῶν, τὸν λόγον τοῦ κυρίου. 36 Μετὰ δέ τινας ἡμέρας εἶπεν πρὸς
15 Βαρνάβαν Παῦλος· „Ἐπιστρέψαντες δὴ ἐπισκεψώμεθα τοὺς ἀδελφοὺς τοὺς κατὰ πόλιν πᾶσαν, ἐν οἷς κατηγγείλαμεν τὸν λόγον τοῦ κυρίου, καὶ ἴδωμεν, πῶς ἔχουσιν". 37 ἤρεσεν δὲ ἡ βουλὴ τῷ Βαρνάβᾳ, ⟨ὃς⟩ ἐβούλετο συμπαραλαβεῖν Ἰωάνην τὸν ἐπικαλούμενον Μᾶρκον· 38 Παῦλος δὲ οὐκ
20 ἐβούλετο, λέγων τὸν ἀποστάντα ἀπ' αὐτῶν ἀπὸ Παμφυλίας καὶ μὴ συνελθόντα ∧ εἰς τὸ ἔργον, εἰς ὃ ἐπέμφθησαν, †τοῦτον μὴ εἶναι σὺν αὐτοῖς. 39 ἐγένετο δὲ παροξυσμός, ὥστε ἀποχωρισθῆναι αὐτοὺς ἀπ' ἀλλήλων. τότε Βαρνάβας

non vultis p Cypr.; *aliis* p Iren.; ποιεῖτε [D²]p Cypr. al., cf. 51, 3 sq.)

1 ἀφ' D (lat.) pro ἐξ | 2 πράξατε CDHL | 2 sq. add. D Iren. Tert. | 3 ἔρρ. om. Iren.; cf. XXIII, 30 | 3 sq. add. D¹ | 5 post ἐπιστ. add. s *Iudas et Silas* | 6 δὲ pro τε DPv | 7 add. D | 8 πολλοῦ om. D | 10 sq. ἔδοξεν .. αὐτοῦ falso (ut vid.) om. ℵABE al. (it. p) | 11 σειλεα D; *syleas -ae* constanter g Lucif. Cypr. Cassiod. | αὐτούς CD¹, πρὸς αὐτούς Dª, cf. XXI, 4 | μόνος κτέ. add. Dgv^cl Prov. (non p) w (qui post *abiit* add. *reversus est Hierosolyma,* cf. v^cl) Cassiod. | 12 D pro Π. δὲ | 13 καὶ μετὰ D¹, om. καὶ g | 14 κυρίου om. vid. D¹ | 14 sq. ὁ (ὁ solus D) Π. πρ. Β. Dg cum EHLP | 16 τοὺς add. Ds | πᾶσαν πόλιν Dg cum EHLP | οἷς D pro αἷς | 17 post κυρ. add. s *et videamus,* cf. Luc. II, 15 | post ἔχ. s add. *placuit autem cogitatio Barnabae,* cf. VI, 5 | 18 ἐβουλεύετο Dg, -εύσατο HLP | 19 τὸν καὶ Μ. sec. Cassiod., cf. I, 23 | 19 sq. D pro ἠξίου | 20 ἀποστήσαντα D, -στατήσ. C fort. recte | 21 αὐτοῖς om. D | 21 sq. add. Dw (*opus ministerii ad quod missi fuerant*) al. lat. | 22 pro μὴ συμπαραλαμβάνειν τοῦτον D | παροξ.] *inter eos* add. p²w | 23 sq. D pro τόν τε Β-αν

παραλαβὼν τὸν Μᾶρκον ἔπλευσεν εἰς Κύπρον· 40 *Παῦλος δὲ ἐπιλεξάμενος Σιλᾶν ἐξῆλθεν, παραδοθεὶς τῇ χάριτι τοῦ κυρίου ἀπὸ τῶν ἀδελφῶν.* 41 *διήρχετο δὲ τὴν Συρίαν καὶ τὴν Κιλικίαν, ἐπιστηρίζων τὰς ἐκκλησίας, π α ρ α δ ι δ ο ύ ς* ⟨*τε*⟩ *τ ὰ ς ἐ ν τ ο λ ὰ ς τ ῶ ν* [ἀποστόλων καὶ] *π ρ ε σ β υ τ έ ρ ω ν.* 5
16 1 *δ ι ε λ θ ὼ ν δ ὲ τ ὰ ἔ θ ν η τ α ῦ τ α, κατήντησεν* ʌ *εἰς Δέρβην καὶ εἰς Λύστραν. καὶ ἰδοὺ μαθητής τις ἦν ἐκεῖ ὀνόματι Τιμόθεος, υἱὸς γυναικὸς Ἰουδαίας πιστῆς, πατρὸς δὲ Ἕλληνος,* 2 *ὃς ἐμαρτυρεῖτο ὑπὸ τῶν ἐν Λύστροις καὶ Ἰκονίῳ ἀδελφῶν.* 3 *τοῦτον ἠθέλησεν ὁ Παῦλος σὺν αὐτῷ ἐξελθεῖν,* 10 *καὶ λαβὼν περιέτεμεν αὐτὸν διὰ τοὺς Ἰουδαίους τοὺς ὄντας ἐν τοῖς τόποις ἐκείνοις· ᾔδεισαν γὰρ ἅπαντες τὸν πατέρα αὐτοῦ ὅτι Ἕλλην ὑπῆρχεν.* 4 *δ ι ε ρ χ ό μ ε ν ο ι δ ὲ τὰς πόλεις, ἐ κ ή ρ υ σ σ ο ν α ὐ τ ο ῖ ς μ ε τ ὰ π ά σ η ς π α ρ ρ η σ ί α ς τ ὸ ν κ ύ ρ ι ο ν Ἰ η σ ο ῦ ν χ ρ ι σ τ ό ν, ἅ μ α π α ρ α δ ι δ ό ν τ ε ς κ α ὶ τ ὰ ς ἐ ν τ ο λ ὰ ς* 15 *τῶν ἀποστόλων καὶ πρεσβυτέρων τῶν ἐν Ἱεροσολύμοις.*

5 *Αἱ μὲν οὖν ἐκκλησίαι ἐστερεοῦντο τῇ πίστει καὶ ἐπερίσσευον τῷ ἀριθμῷ καθ' ἡμέραν·* 6 *διῆλθον δὲ τὴν Φρυγίαν καὶ τὰς Γαλατικὰς χώρας, κωλυθέντες ὑπὸ τοῦ ἁγίου πνεύματος λαλῆσαι τὸν λόγον ἐν τῇ Ἀσίᾳ·* 7 *γ ε ν ό μ ε ν ο ι* 20 *δὲ κατὰ τὴν Μυσίαν ἤ θ ε λ ο ν εἰς Βιθυνίαν πορευθῆναι, καὶ οὐκ εἴασεν αὐτοὺς τὸ πνεῦμα Ἰησοῦ,* 8 *διελθόντες δὲ τὴν Μυσίαν κατήντησαν εἰς Τρῳάδα.* 9 *καὶ ἐν ὁράματι διὰ νυκτὸς ὤφθη τῷ Παύλῳ ὡσεὶ ἀνὴρ Μακεδών*

π-όντα τ. Μ. ἐκπλεῦσαι; potest esse corruptela (g *et B. quidem assumpto M. navigavit*)

2 *ἐπιδεξ.* D | *τοῦ* om. D[1] | 3 pro *ὑπὸ* D | 4 sq. add. D (*tradens autem* d) sine *ἀποστ. καί*; cf. Cassiod.; XV, 5; gv *praecipiens* (antea *et confirmabat*) *custodire praec. ap. et sen.; s et tradebant iis custodire pr. ap. et s.* Cf. 13 sqq. | 6 Ds (s pluralem hab. ut 3 sq.), cf. g Cassiod. | 7 *εἰς* om. DE cum CHLP | *ἐκεῖ ἦν* D (non d) | 8 *viduae mul.* (om. *Iud.*) g (Prov.), *vid. Iud.* w, *γυν. Ἰουδ. χήρας* min. 25, cf. 13 *ὑπῆρχεν* i. e. *fuerat* | 12 *πάντες* CD | 13 *δ. δὲ* (g *οὖν*) Dg | 14 sq. *ἐκήρ. κτέ.* D (qui ex *α καὶ παρεδίδοσαν* add. post *ἐκ.*) s (*κηρύσσοντες*) | 15 sq. *ἅμα κτέ.* D (*τῶν* prius om. D[1]) | 17 *τῇ πίστει* om. D | 19 *τὰς Γ. χώρας* (i. e. *vicos Galatiae*) sec. p (*Phrygiam et Galatie regiones*) pro (*τὴν*) *Γαλατικὴν χώραν* | 20 *μηδενὶ λ.* D (g *omnino*) | *λ. τοῦ θεοῦ* Dgv (non p), cf. XIV, 25 | *γενόμ.* D (*-ην* D[1]) pro *ἐλθόντες* | 20 sq. *πορεύεσθαι* CDHLP | 21 *ἤθελαν* D pro *ἐπείραζον* | *τὴν* ante *B.* om. D | 22 *διελθ.* recte Dgv pro *παρ.* | 23 *κατήντησαν* D pro *κατέβησαν* (*nos venimus* Iren.) | 23 sq. *ἐν ὁρ.* D | 24 *ὡσεὶ* D Sch. sahid

τις ∧ ἑστὼς κατὰ πρόσωπον αὐτοῦ, παρακαλῶν ∧ καὶ
λέγων· „Διαβὰς εἰς Μακεδονίαν βοήθησον ἡμῖν“. 10 διε-
γερθεὶς οὖν διηγήσατο τὸ ὅραμα ἡμῖν, καὶ ἐνοήσαμεν
ὅτι προσκέκληται ἡμᾶς ὁ θεὸς εὐαγγελίσασθαι τοὺς ἐν τῇ
5 Μακεδονίᾳ. 11 τῇ δὲ ἐπαύριον ἀναχθέντες ἀπὸ Τρῳά-
δος εὐθυδρομήσαμεν εἰς Σαμοθρᾴκην, καὶ τῇ ἐπιούσῃ
ἡμέρᾳ εἰς Νέαν πόλιν, 12 κἀκεῖθεν εἰς Φιλίππους, ἥτις ἐστὶν
πρώτης μερίδος τῆς Μακεδονίας πόλις, κολωνία. Ἦμεν δὲ
ἐν ταύτῃ τῇ πόλει διατρίβοντες ἡμέρας τινάς. 13 τῇ τε ἡμέρᾳ
10 τῶν σαββάτων ἐξήλθομεν ἔξω τῆς πύλης παρὰ ποταμόν, οὗ
ἐδόκει προσευχὴ εἶναι, καὶ καθίσαντες ἐλαλοῦμεν ταῖς συν-
εληλυθυίαις γυναιξίν. 14 καί τις γυνὴ ὀνόματι Λυδία,
πορφυρόπωλις πόλεως Θυατείρων σεβομένη τὸν θεόν, ἤκουεν,
ἧς ὁ κύριος διήνοιξεν τὴν καρδίαν προσέχειν τοῖς λαλου-
15 μένοις ὑπὸ Παύλου. 15 ὡς δὲ ἐβαπτίσθη, καὶ πᾶς ὁ οἶκος
αὐτῆς, παρεκάλεσεν λέγουσα· „Εἰ κεκρίκατέ με πιστὴν τῷ
κυρίῳ εἶναι, εἰσελθόντες εἰς τὸν οἶκόν μου μένετε“· καὶ
παρεβιάσατο ἡμᾶς. 16 Ἐγένετο δὲ πορευομένων ἡμῶν εἰς
τὴν προσευχήν, παιδίσκην τινὰ ἔχουσαν πνεῦμα πύθωνα
20 ὑπαντῆσαι ἡμῖν, ἥτις ἐργασίαν πολλὴν παρεῖχεν τοῖς κυρίοις
διὰ τούτου μαντευομένη. 17 αὕτη κατακολουθήσασα τῷ
Παύλῳ καὶ ἡμῖν ἔκραζεν λέγουσα· „Οὗτοι οἱ ἄνθρωποι
δοῦλοι τοῦ θεοῦ τοῦ ὑψίστου εἰσίν, οἵτινες εὐαγγελίζον-
ται ὑμῖν ὁδὸν σωτηρίας“. 18 τοῦτο δὲ ἐποίει ἐπὶ πολλὰς
25 ἡμέρας. διαπονηθεὶς δὲ ὁ Παῦλος καὶ ἐπιστρέψας τῷ πνεύ-

1 om. ἦν DE sah | κ. πρ. α. Ds sah | αὐτὸν om. D | 2 ἡμῖν Παῦλε Iren. | 2 sq. D sah. (usque ad ἡμ.) | 3 καὶ ἐν. D | 4 κύριος pro θεὸς Dg cum HLP | 4 sq. τοὺς κτέ. D pro αὐτούς (om. w) | 5 τῇ δὲ ἐπ. DMs | ἀχθέντες D^1 | 6 καὶ τῇ pro τῇ δὲ (τε Hvg) D | 7 ἡμ. add. D | Νεάπολιν D^1 cum CE al. | 8 πρώτης (quod dudum coniec. Pearce et Clericus) pro πρώτη (τῆς) confirmat cod. lat. Bergeri (*in prima parte*) et versio Provinc. (at d *caput*, unde D κεφαλὴ, it. Sch.; μερίδος om. DM Syri) | ημην D^1 | 9 τῇ δὲ D | 10 παρὰ τὸν π. D | 11 ἐδόκει προσευχὴ D(gv) pro ἐνομιζ(ομ)εν (-ετο) προσευχὴ(ν), quae fuerit explicatio | D pro συνελθούσαις (*ibi* add. s) | 13 τῆς πολ. D | ἤκουσεν D^{1}Lv (add. *verbum* gpw) | 15 πᾶς add. Dw (cf. g) | 16 παρεκ.] add. *Paulum et nos* p^{2}w | 17 θεῷ pro κυρ. D | εισελοντες D | 19 τὴν om. DHLP | 20 ἀπαντ. D cum AHLP | 21 D^1 pro αὐτῆς | κατακολουθοῦσα ℵBD | 22 καὶ ἔκραζον D^1 | ἄνθρ. om. D^{1}g (g et. 23 εἰσίν) | 23 pro καταγγέλλουσιν D (pr. -τες) | 25 ἐπιστρ. δὲ ὁ Π. τ. πν. καὶ διαπον. D

ματι εἶπεν· „Παραγγέλλω σοι ἐν ὀνόματι Ἰησοῦ χριστοῦ ἵνα
ἐξέλθῃς ἀπ' αὐτῆς“. καὶ εὐθέως ἐξῆλθεν ∧. 19 ὡς δὲ
εἶδαν οἱ κύριοι τῆς παιδίσκης ὅτι *ἀπεστέρηνται τῆς
ἐργασίας αὐτῶν, ἧς εἶχον δι' αὐτῆς, ἐπιλαβόμενοι τὸν
Παῦλον καὶ τὸν Σιλᾶν εἵλκυσαν εἰς τὴν ἀγορὰν ἐπὶ τοὺς 5
στρατηγούς, 20 καὶ προσήνεγκαν αὐτοὺς ∧ λέγοντες·
„Οὗτοι οἱ ἄνθρωποι ἐκταράσσουσιν ἡμῶν τὴν πόλιν, Ἰου-
δαῖοι ὑπάρχοντες, 21 καὶ καταγγέλλουσιν ἔθη, ἃ οὐκ ἔξεστιν
ἡμῖν παραδέξασθαι οὐδὲ ποιεῖν Ῥωμαίοις ὑπάρχουσιν“.
22 καὶ πολὺς †ὄχλος συνεπέστησαν κατ' αὐτῶν κράζοντες. 10
τότε οἱ στρατηγοὶ περιρήξαντες αὐτῶν τὰ ἱμάτια ἐκέλευον
ῥαβδίζειν, 23 πολλάς τε ἐπιθέντες αὐτοῖς πληγὰς ἔβαλον εἰς
φυλακήν, παραγγείλαντες τῷ δεσμοφύλακι ἀσφαλῶς τηρεῖσθαι
αὐτούς. 24 ὁ δὲ παραγγελίαν τοιαύτην λαβὼν ἔβαλεν αὐτοὺς
εἰς τὴν ἐσωτέραν φυλακήν, καὶ τοὺς πόδας αὐτῶν ἠσφαλί- 15
σατο ἐν τῷ ξύλῳ. 25 κατὰ δὲ μέσον τῆς νυκτός ὁ Παῦλος
καὶ Σιλᾶς προσευχόμενοι ὕμνουν τὸν θεόν· ἐπηκροῶντο δὲ
αὐτῶν οἱ δέσμιοι. 26 ἄφνω δὲ σεισμὸς ἐγένετο μέγας, ὥστε
σαλευθῆναι τὰ θεμέλια τοῦ δεσμωτηρίου· ἠνεῴχθησαν δὲ αἱ
θύραι πᾶσαι, καὶ πάντων τὰ δεσμὰ ἀνέθη. 27 ἔξυπνος δὲ 20
γενόμενος ὁ δεσμοφύλαξ καὶ ἰδὼν ἀνεῳγμένας τὰς θύρας
τῆς φυλακῆς, σπασάμενος τὴν μάχαιραν ἔμελλεν ἑαυτὸν ἀναι-
ρεῖν, νομίζων ἐκπεφευγέναι τοὺς δεσμίους. 28 ἐφώνησεν δὲ
φωνῇ μεγάλῃ ὁ Παῦλος λέγων· „Μηδὲν πράξῃς σεαυτῷ κα-
κόν· ἅπαντες γάρ ἐσμεν ἐνθάδε“. 29 ἀκούσας δὲ ὁ 25
δεσμοφύλαξ †φῶτά τε αἰτήσας εἰσεπήδησεν, καὶ ἔντρο-
μος ὑπάρχων προσέπεσεν πρὸς τοὺς πόδας τῷ Παύλῳ καὶ

1 ἐν τῷ ὀν. DHLP | 1 sq. D pro ἐξελθεῖν | 2 D pro ἐξ. αὐτῇ τῇ ὥρᾳ | 3 D, sed απεστερησθαι | 4 add. D (-αν) | 5 τὸν om. CD | 6 στρατηγ. et om. τοῖς στρατηγοῖς g Lucif. recte; eid. προσήν. et λέγ. (D ut vulgo) | 8 τὰ ἔθνη D^{1} | 9 ἡμᾶς D | παραδέχεσθαι D | ουτε D | pro οὖσιν D | 10 D, cf. Syr. utr. (*universa turba* g Luc.) | κρ. add. D | 11 τότε D pro καὶ | 13 τηρεῖσθαι pro τηρεῖν D | 14 ὁ δὲ D pro ὃς | 15 ἠσφαλίσαντο D^{1} | 16 D pro εἰς τὸ ξύλον | D^{1} pro τὸ (om. $ℵ^{1}$) μεσονύκτιον | ὁ add. D | 18 δεσμοι D^{1} | 19 παραχρῆμα ante αἱ (cett., et. D) om. Bg | 20 ἀνελύθη $ℵ^{1}D^{1}$ | καὶ ἔξ. om. δὲ D | 22 καὶ σπ. male D^{1} | 23 αὐτῷ post ἐφ. δὲ sec. s | 24 τι κακόν D, cf. XXVI, 31 | 25 sq. gw (*quo audito cust. carc.*) | 26 φ. δὲ αἰτ. D, *petitoque lumine* w, *petiit lumen et* g | 27 ὑπ. $C^{1}D$ pro γενόμενος | add. D^{1}gv sahid. s (cum obel.), cf. X, 25; spuria fort. sunt

Σιλᾷ, 30 *καὶ προήγαγεν αὐτοὺς ἔξω,* καὶ *τοὺς λοιποὺς ἀσφαλισάμενος* προσῆλθεν *καὶ εἶπεν αὐτοῖς· „Κύριοι, τί με δεῖ ποιεῖν ἵνα σωθῶ“;* 31 *οἱ δὲ εἶπαν· „Πίστευσον ἐπὶ τὸν κύριον Ἰησοῦν χριστόν, καὶ σωθήσῃ σὺ καὶ ὁ*
5 *οἶκός σου“.* 32 *καὶ ἐλάλησαν αὐτῷ τὸν λόγον τοῦ θεοῦ, σὺν πᾶσιν τοῖς ἐν τῇ οἰκίᾳ αὐτοῦ.* 33 *καὶ παραλαβὼν αὐτοὺς ἐν ἐκείνῃ τῇ ὥρᾳ τῆς νυκτός, ἔλουσεν ἀπὸ τῶν πληγῶν, καὶ αὐτὸς ἐβαπτίσθη καὶ οἱ αὐτοῦ πάντες παραχρῆμα,* 34 *ἀναγαγών τε αὐτοὺς εἰς τὸν οἶκον [αὐτοῦ] παρέθηκεν*
10 *τράπεζαν, καὶ ἠγαλλιᾶτο πανοικεὶ πεπιστευκὼς ἐπὶ τὸν θεόν.* 35 *Ἡμέρας δὲ γενομένης, συνῆλθον οἱ στρατηγοὶ ἐπὶ τὸ αὐτὸ εἰς τὴν ἀγοράν, καὶ ἀναμνησθέντες τὸν σεισμὸν τὸν γεγονότα ἐφοβήθησαν, καὶ ἀπέστειλαν* Λ *τοὺς ῥαβδούχους, λέγοντες· „Ἀπόλυσον τοὺς ἀνθρώπους ἐκεί-*
15 *νους, οὓς ἐχθὲς παρέλαβες“.* 36 *καὶ εἰσελθὼν †ὁ δεσμοφύλαξ ἀπήγγειλεν τοὺς λόγους τούτους πρὸς τὸν Παῦλον, ὅτι „ἀπεστάλκασιν οἱ στρατηγοὶ ἵνα ἀπολυθῆτε· νῦν οὖν ἐξελθόντες πορεύεσθε“.* 37 *ὁ δὲ Παῦλος ἔφη πρὸς αὐτούς· „Ἀναιτίους δείραντες ἡμᾶς δημοσίᾳ [ἀκατακρίτους], ἀν-*
20 *θρώπους Ῥωμαίους ὑπάρχοντας, ἔβαλαν εἰς φυλακήν, καὶ νῦν λάθρᾳ ἡμᾶς ἐκβάλλουσιν; οὐ γάρ, ἀλλὰ ἐλθόντες αὐτοὶ ἡμᾶς ἐξαγαγέτωσαν“.* 38 *ἀπήγγειλαν δὲ οἱ ῥαβδοῦχοι [τὰ ῥήματα ταῦτα] τὰ ῥηθέντα πρὸς τοὺς στρατηγούς· οἱ δὲ ἀκούσαντες ὅτι Ῥωμαῖοί εἰσιν †ἐφοβήθησαν,* 39 *καὶ παρα-*
25 *γενόμενοι μετὰ φίλων πολλῶν εἰς τὴν φυλακήν, παρεκάλεσαν αὐτοὺς ἐξελθεῖν, εἰπόντες· „Ἠγνοήσαμεν τὰ καθ᾽ ὑμᾶς, ὅτι ἐστὲ ἄνδρες δίκαιοι“. καὶ ἐξαγα-*

1 *προήγ.* pro *προαγαγὼν* D | 1sq. *τοὺς* (*καὶ τοὺς* s) *λ. ἀ.* Ds | 2 *καὶ* (om. D[2]s, addit s *appropinquavit et*) *ε. α.* (pro *ἔφη*) D | 5 *τ. κυρίου* (*τοῦ* om. D) omnes praet. ℵ[1]B | 8 *αὐτὸς* h. l. D | *παρ.* om. g | 9 *καὶ ἀν. τε* D[1] | *αὐτοῦ* om. BCPg | *καὶ παρέθ.* D[1] | 10 *πανοικεὶ*] *σὺν τῷ οἴκῳ αὐτοῦ* D, quae vid. esse explicatio | D pro *τῷ θεῷ* | 11sqq. Ds | 14 *λέγοντας* D | 15 DM Syr. post. | *καὶ εἰσ. κτέ.* D (cf. Sch.) | 16 *τούτους* post *λόγ.* om. BCD, sed cf. v. 38 | 18 post *πορ.* om. *ἐν εἰρήνῃ* Dg, recte put. | 19 *ἀναιτ.* D, unde seclusi *ἀκατ.*, quod in g est post 20 *Ῥωμ.* (*ὑπ.* ibi om. g) | 22 D *δὲ αυτοισοι* (*τοῖς* D[2]) *στρατηγοῖς*, ex *α*, cf. 23 | 23 D Sch. (hic *πρὸς αὐτούς*); secl. *τὰ ῥ. τ.* ut ex *α* immixta | 23sq. *οἱ . . ἐφοβ.* D (Sch.) | 24sq. *καὶ . . φυλ.* D (*ε. τ. φυλ.* et. Ms) | 26sq. *ἐξελθεῖν . . δίκ.* DMs | 27sq. *ἐξ. παρ. α. λ.* D (om. haec Ms Ephr., hic et. *καὶ*)

γόντες παρεκάλεσαν αὐτοὺς λέγοντες· „Ἐκ τῆς πόλεως ταύτης ἐξέλθατε, μήποτε πάλιν συστραφῶσιν ἡμῖν ἐπικράζοντες καθ' ὑμῶν“. 40 ἐξελθόντες δὲ ἐκ τῆς φυλακῆς εἰσῆλθον πρὸς τὴν Λυδίαν, καὶ ἰδόντες τοὺς ἀδελφοὺς διηγήσαντο ὅσα ἐποίησεν κύριος αὐτοῖς, †παρα- 5 καλέσαντές τε αὐτοὺς ἐξῆλθαν.

1 Διοδεύσαντες δὲ τὴν Ἀμφίπολιν κατῆλθον εἰς Ἀπολ- 17 λωνίαν κἀκεῖθεν εἰς Θεσσαλονίκην, ὅπου ἦν συναγωγὴ τῶν Ἰουδαίων. 2 καὶ κατὰ Λ τὸ εἰωθὸς ὁ Παῦλος εἰσῆλθεν πρὸς αὐτούς, καὶ ἐπὶ σάββατα τρία διελέγετο αὐτοῖς ἀπὸ τῶν γρα- 10 φῶν, 3 διανοίγων καὶ παρατιθέμενος, ὅτι „τὸν χριστὸν ἔδει παθεῖν καὶ ἀναστῆναι ἐκ νεκρῶν, καὶ ὅτι οὗτός ἐστιν ὁ χριστός, Ἰησοῦς ὃν ἐγὼ καταγγέλλω ὑμῖν“. 4 καί τινες ἐξ αὐτῶν ἐπείσθησαν τῇ διδαχῇ καὶ προσεκληρώθησαν τῷ Παύλῳ καὶ τῷ Σιλᾷ, τῶν τε σεβομένων Ἑλλήνων πλῆθος 15 πολύ, καὶ γυναῖκες Λ τῶν πρώτων οὐκ ὀλίγαι. 5 οἱ δὲ ἀπειθοῦντες Ἰουδαῖοι συστρέψαντές †τινας ἄνδρας τῶν ἀγοραίων πονηροὺς Λ ἐθορύβουν τὴν πόλιν, καὶ ἐπιστάντες τῇ οἰκίᾳ Ἰάσονος ἐζήτουν αὐτοὺς προαγαγεῖν εἰς τὸν δῆμον, 6 μὴ εὑρόντες δὲ αὐτοὺς ἔσυρον τὸν Ἰάσονα καί τινας ἀδελ- 20 φοὺς ἐπὶ τοὺς πολιτάρχας, βοῶντες καὶ λέγοντες, ὅτι „οἱ τὴν οἰκουμένην ἀναστατώσαντες, οὗτοι καὶ ἐνθάδε πάρεισιν, 7 οὓς ὑποδέδεκται Ἰάσων· καὶ οὗτοι πάντες ἀπέναντι τῶν δογμάτων Καίσαρος πράσσουσιν, βασιλέα λέγοντες ἕτερον εἶναι, τίνα ποτὲ Ἰησοῦν“. 8 ἐτάραξαν δὲ †τοὺς πολι- 25

1 sqq. *ἐκ κτέ.* DMs (hi *ταύτ. τ. π. ἐξέλθετε, μήπως ἐπιστραφ. πάλιν οἱ ἐπικράξαντες καθ' ὑμ.*) | 4 *ἦλθον* Dg | 5 sq. D Cassiod. (D[1] *παρακ. αὐτ. καὶ ἐξ.*, cf. *α*, *παρακαλεσαντε α. κτέ.* D[1]; emendavi) | 7 D (*καὶ κατ.* D[1], *κατ. καὶ* D[2]) | *Ἀπολλωνίδα* D[1], *-ια* ead. | 8 D | 9 D (*καὶ* del. D[2]) g (*κ. τ. εἰ. οὖν*); *ὁ Π.* pro *τῷ Π.* et. v. | 10 *καὶ* om. D; an *ἐπ. σ.* ⟨*τε*⟩? | *διελέγετο* recte HLPv, *διελέχθη* DE (aor. et. g), *-έξατο* ℵAB. Cf. XVIII, 19 | *ἐκ* Dgv | 11 *τὸν* om. D[4] | 12 *ὁ* om. D cum A al. | 14 add. D, sed post *Σιλ.* 15 | 15 *Σιλαια* hic quoque Dg | *τῶν τε*] *πολλοὶ τῶν* corrupte D, *τῶν* g | *σεβ. καὶ Ἑλλ.* male DAgvw (non p) | 16 Dg (hic om. *τ. πρ.*) v (*et mulieres nobiles*) | 16 sq. D, cf. HLPEg | 18 *καὶ ὀχλοποιήσαντες* om. D | *ἐθορυβοῦσαν* D | 19 *Ἰάσωνος* DAE | *ἐξαγαγ.* D | 20 *τὸν* om. DℵAB | *Ἰάσωναν* D | 21 add. Dgw | 23 *οὗτοί εἰσιν καὶ* D[1]g (p[2]w) | 24 DHLP pro *ἕτ. λ.* | 25 add. g et cod. lat. Sangermanensis ap. Berger. (*nescio quem*, cf. XIX, 26) | *καὶ ἐτάραξεν τοὺς* D | *τοὺς πολ.* priore loco Dg (*turbas*) Sch.

τάρχας καὶ τὸν ὄχλον λέγοντες ταῦτα. 9 οἱ μὲν ⟨οὖν⟩ πολιτάρχαι λαβόντες τὸ ἱκανὸν παρὰ τοῦ Ἰάσονος καὶ τῶν λοιπῶν ἀπέλυσαν αὐτούς. 10 οἱ δὲ ἀδελφοὶ εὐθέως διὰ νυκτὸς ἐξέπεμψαν τὸν Παῦλον καὶ τὸν Σιλᾶν εἰς Βέ-
5 ροιαν, οἵτινες παραγενόμενοι εἰς τὴν συναγωγὴν τῶν Ἰουδαίων ἀπήεσαν· 11 οὗτοι δὲ ἦσαν εὐγενέστεροι τῶν ἐν Θεσσαλονίκῃ, οἵτινες ἐδέξαντο τὸν λόγον μετὰ πάσης προθυμίας, καθ' ἡμέραν ἀνακρίνοντες τὰς γραφάς, εἰ ἔχοι ταῦτα οὕτως, καθὼς Παῦλος ἀπαγγέλλει. 12 τινὲς μὲν οὖν Λ αὐτῶν
10 ἐπίστευσαν, τινὲς δὲ ἠπίστησαν, καὶ τῶν Ἑλλήνων Λ τῶν εὐσχημόνων ἄνδρες καὶ †γυναῖκες ἱκανοὶ ἐπίστευσαν· 13 ὡς δὲ ἔγνωσαν οἱ ἀπὸ Θεσσαλονίκης Ἰουδαῖοι, ὅτι †ὁ λόγος τοῦ θεοῦ †κατηγγέλη Λ εἰς Βέροιαν καὶ ἐπίστευσαν, ἦλθον εἰς αὐτὴν κἀκεῖ σαλεύοντες καὶ ταράσσοντες
15 τοὺς ὄχλους οὐ διελίμπανον. 14 τὸν μὲν οὖν Παῦλον †οἱ ἀδελφοὶ ἐξαπέστειλαν ἀπελθεῖν ἐπὶ τὴν θάλασσαν· ὑπέμεινεν δὲ ὁ Σιλᾶς καὶ ὁ Τιμόθεος ἐκεῖ.

15 Οἱ δὲ καθιστῶντες τὸν Παῦλον ἤγαγον ἕως Ἀθηνῶν· παρῆλθεν δὲ τὴν Θεσσαλίαν· ἐκωλύθη γὰρ εἰς αὐ-
20 τοὺς κηρύξαι τὸν λόγον. Λ λαβόντες δὲ ἐντολὴν παρὰ Παύλου πρὸς τὸν Σιλᾶν καὶ Τιμόθεον, ὅπως ἐν τάχει ἔλθωσιν πρὸς αὐτόν, ἐξήεσαν. 16 ἐν δὲ ταῖς Ἀθήναις ἐκδεχομένου αὐτοὺς τοῦ Παύλου, παρωξύνετο τὸ πνεῦμα αὐτοῦ ἐν αὐτῷ, θεωροῦντι κατείδωλον οὖσαν τὴν πόλιν. 17 διε-
25 λέγετο μὲν οὖν ἐν τῇ συναγωγῇ τοῖς Ἰουδαίοις καὶ τοῖς σεβομένοις, καὶ ἐν τῇ ἀγορᾷ κατὰ πᾶσαν ἡμέραν πρὸς τοὺς παρατυχόντας. 18 τινὲς δὲ καὶ τῶν Ἐπικουρείων καὶ τῶν Στωϊκῶν φιλοσόφων συνέβαλλον αὐτῷ. καί τινες ἔλεγον· „Τί ἂν θέλοι ὁ σπερμολόγος οὗτος λέγειν“; οἱ δέ· „Ξένων

1 λέγ. s (ἀκούσαντες D[1] corr.[b] pro -τας) | 1 sq. s, οὖν addidi | 2 Ἰάσωνος DE | 4 τε post τὸν prius om. D | 6 εὐγενεῖς Dp[1] | τῇ Θεσσ. D | 8 ἔχει D[1]E | 9 καθὼς Π. ἀ. Mg (*annuntiabat*) s | τινὲς D | αὐτῶν D pro ἐξ. α. | 10 τ. δὲ ἠπ. add. D | 10 sqq. D[1] (male Ἑλλ. καὶ τῶν) | 12 τῆς ante Θεσσ. om. DE | 13 D (ὁ et τοῦ om. D[1]) | ὑπὸ τοῦ Παύλου om. D Cassiod. | 14 D (καὶ ἦλθ. male; κἀκεῖ fort. ex α pro καὶ) | 15 D Sch. | 17 ὑπέμειναν AD | ὁ Σ. D pro ὅ τε Σ. | 18 καταστάνοντες D[1], καθιστάνοντες D[2]E al. | 19 sq. D | 23 αὐτοῦ D[1] | τὸ om. D[1] | 26 καὶ ἐν] καὶ τοῖς ἐν DMs | 27 D pro παρατυγχάνοντας | 28 Στοϊκῶν ℵAD al. | συνέλαβον D[1] | 29 θέλῃ D[1]

δαιμονίων δοκεῖ καταγγελεὺς εἶναι“. ΛΛ 19 *μετὰ δὲ ἡμέρας*
τινὰς ἐπιλαβόμενοι αὐτοῦ † *ἤγαγον αὐτὸν ἐπὶ Ἄρειον πάγον,*
πυνθανόμενοι καὶ λέγοντες· „Δυνάμεθα γνῶναι, τίς ἡ καινὴ
αὕτη ὑπὸ σοῦ καταγγελλομένη διδαχή; 20 *ξενίζοντα γάρ*
τινα Λ*φέρεις ῥήματα εἰς τὰς ἀκοὰς ἡμῶν· βουλόμεθα οὖν* 5
γνῶναι, τί ἂν θέλοι ταῦτα εἶναι“. 21 *Ἀθηναῖοι δὲ πάντες*
καὶ οἱ ἐπιδημοῦντες εἰς αὐτοὺς ξένοι εἰς οὐδὲν ἕτερον
ηὐκαίρουν, ἢ λέγειν τι ἢ ἀκούειν καινότερον. 22 *σταθεὶς*
δὲ ὁ Παῦλος ἐν μέσῳ τοῦ Ἀρείου πάγου ἔφη· „Ἄνδρες
Ἀθηναῖοι, κατὰ πάντα ὡς δεισιδαιμονεστέρους ὑμᾶς θεωρῶ· 10
23 *διερχόμενος γὰρ καὶ διιστορῶν τὰ σεβάσματα ὑμῶν,*
εὗρον καὶ βωμὸν ἐν ᾧ ἦν γεγραμμένον Ἀγνώστῳ θεῷ.
ὃ οὖν ἀγνοοῦντες εὐσεβεῖτε, τοῦτο ἐγὼ καταγγέλλω ὑμῖν.
24 *ὁ θεὸς ὁ ποιήσας τὸν κόσμον καὶ πάντα τὰ ἐν αὐτῷ,*
οὗτος οὐρανοῦ καὶ γῆς κύριος ὑπάρχων οὐκ ἐν χειροποι- 15
ήτοις ναοῖς κατοικεῖ, 25 *οὐδὲ ὑπὸ χειρῶν ἀνθρωπίνων θερα-*
πεύεται προσδεόμενός τινος, ὅτι οὗτος ὁ δοὺς πᾶσιν
ζωὴν καὶ πνοὴν καὶ τὰ πάντα· 26 *ἐποίησέν τε ἐξ ἑνὸς [αἵ-*
ματος] πᾶν ἔθνος ἀνθρώπων κατοικεῖν ἐπὶ παντὸς προσώ-
που τῆς γῆς, ὁρίσας προτεταγμένους καιροὺς καὶ τὰ ὁρο- 20
θέσια τῆς κατοικίας αὐτῶν, 27 *μάλιστα ζητεῖν τὸ θεῖον,*
εἰ ἄρα γε ψηλαφήσαισαν αὐτὸ ἢ εὕροισαν, καί γε οὐ μα-
κρὰν ὂν ἀπὸ ἑνὸς ἑκάστου ἡμῶν Λ. 28 *ἐν αὐτῷ γὰρ ζῶμεν*
καὶ κινούμεθα καὶ ἐσμὲν τὸ καθ' ἡμέραν, ὡς καὶ τῶν

1 *ὅτι τὸν Ἰησ. καὶ τὴν ἀνάστασιν εὐηγγελίζετο* om. Dg; cf. XVIII, 3. XIV, 12 | 1 sq. DMs | 2 *ἤγ.* h. l. DMg | *αὐτὸν* add. DM Syr. post. | *τὸν* ante *Ἄρ.* om. D[1] (add. [b]) | 3 *πυνθ. καὶ* add. DM | 4 *καταγγ.* pro *λαλουμ.* D (*ὑπὸ σοῦ λ.* om. g) | 5 *φ.* (pro *εἰσφ.*) *ῥήμ.* D, *ῥ. εἰσφ.* E | 6 *τί ἂν θέλοι* DEHLPgv pro *τίνα θέλει* | 7 add. D sahid | 11 *διιστ.* D pro *ἀναθεωρῶν*, cf. Clem. | 12 pro *ἐπεγέγραπτο* D(g) | verum puto *ἀγνώστων θεῶν* | 15 *κύρ.* h. l. D Ir. | 16 *κατοικοι οδε* D[1] | 17 *ὡς* ante *προσδ.* add. ℵ[1]deg Iren. | *τινος* om. D[1], *τι* D[2]g | *ὅτι* add. D Iren. | *οὗτος ὁ δοὺς* D pro *αὐτὸς διδοὺς* | 18 *πάντα*] *fecerit* add. Ir. | *τε* om. DE (*qui* Ir.) | *αἵματος* om. ℵABv al., recte ut vid. | 19 *ἀνθρώπου* D | 20 *προτετ.* D[1] (om. Ir.) pro *προστ.* | *κατὰ ὁροθεσίαν* D Iren., unde *καὶ τὰ ὁροθέσια* scripsi pro *κ. τὰς -ίας* | 21 *μάλ.* add. D | *τὸ θ.* pro *τὸν θεὸν* Dg Iren. Clem.; *τί* (*quis*) add. s, *ἐστίν* Ds (*illud quod est div.* Ir. = *τὸ θεῖον*) | 22 *ψηλ-αισαν* et *εὕροισαν* D | *αὐτὸ* pro *αὐτὸν* Dg Iren. (om. Clem.) | *ἢ* pro *καὶ* ADg Iren. al. | *καιτε* D[1] | 23 *ὂν* Dg Iren., om. *ὑπάρχοντα* | *αυτη* D[1] | 24 add. D | *ὥσπερ* D | *τινες* post *ὑμ.* D

καθ' ὑμᾶς Λ εἰρήκασιν· „Τοῦ γὰρ καὶ γένος ἐσμέν“. 29 γένος οὖν ὑπάρχοντες τοῦ θεοῦ, οὐκ ὀφείλομεν νομίζειν, χρυσίῳ ἢ ἀργυρίῳ ἢ λίθῳ, παραχαράγματι τέχνης καὶ ἐνθυμήσεως ἀνθρώπου, τὸ θεῖον εἶναι ὅμοιον. 30 τοὺς μὲν οὖν χρό-
5 νους τῆς ἀγνοίας ταύτης παριδὼν ὁ θεός, τὰ νῦν παραγγέλλει τοῖς ἀνθρώποις, πάντας πανταχοῦ μετανοεῖν εἰς αὐτόν, 31 καθότι ἔστησεν ἡμέραν Λ κρῖναι τὴν οἰκουμένην ἐν δικαιοσύνῃ ἐν ἀνδρὶ ᾧ ὥρισεν, πίστιν παρασχὼν πᾶσιν ἀναστήσας αὐτὸν ἐκ νεκρῶν“. 32 Ἀκούσαντες δὲ ἀνάστασιν νε-
10 κρῶν, οἱ μὲν ἐχλεύαζον, οἱ δὲ εἶπον· „Ἀκουσόμεθά σου περὶ τούτου πάλιν“. 33 οὕτως ὁ Παῦλος ἐξῆλθεν ἐκ μέσου αὐτῶν· 34 τινὲς δὲ [ἄνδρες] κολληθέντες αὐτῷ ἐπίστευσαν, ἐν οἷς καὶ Διονύσιός τις Ἀρεοπαγίτης καὶ γυνὴ ὀνόματι Δάμαλις εὐσχήμων καὶ ἕτεροι σὺν αὐτοῖς.
15
18 1 Λ Ἀναχωρήσας δὲ ἀπὸ τῶν Ἀθηνῶν ἦλθεν εἰς Κόρινθον, 2 καὶ εὑρών τινα Ἰουδαῖον ὀνόματι Ἀκύλαν, Ποντικὸν τῷ γένει, προσφάτως ἐληλυθότα ἀπὸ τῆς Ἰταλίας, σὺν Πρισκίλλῃ γυναικὶ αὐτοῦ, ἠσπάσατο αὐτούς. οὗτοι δὲ ἐξῆλθον ἀπὸ τῆς Ῥώμης, διὰ τὸ τεταχέναι Κλαύ-
20 διον χωρίζεσθαι πάντας τοὺς Ἰουδαίους [ἀπὸ τῆς Ῥώμης], [οἳ] καὶ κατῴκησαν εἰς τὴν Ἀχαΐαν. 3 ὁ δὲ Παῦλος ἐγνώσθη τῷ Ἀκύλᾳ, διὰ τὸ ὁμόφυλον καὶ ὁμότεχνον

1 ποιητῶν om. Dg Iren. Ambr., recte ut vid. | τούτου γὰρ καὶ γος D[1] | 2 οὔτε χρ. D | 2sq. χρυσῷ ἢ ἀργύρῳ cum al. D | 3 pro χαρ. ex Iren. (*deformato*) | καὶ] ἢ D Iren. Didym. | 5 ταύτ. add. D[1]v | παριδὼν recte D[1] pro ὑπεριδ. | 6 ἵνα πάντες D[1]gv, μετανοῶσιν dgv | εἰς α. add. Ir. (XX, 21) | 7 om. ἐν ᾗ μέλλει Dg Iren. al., recte fort. in α | κρῖναι D pro κρίνειν | 8 ἐν om. D | ἀ. Ἰησοῦ D Iren. | παρεσχειν D, παρασχεῖν g, om. Iren. (cum πᾶσιν) August. | 11 καὶ ante πάλ. om. Dgv | 12 ἄνδρες om. f, cuius ab h. v. incipit novum frg. | κολλ. α. om. f; ἐκολλήθησαν D[1], fort. ex contamin. | 13 prius καὶ om. f | τις add. Df | καὶ .. Δάμ. om. D | Δάμαλις f pro -ρις | 14 εὐσχ. add. D et ut vid. f (lac.) | 15 Df (*et cum*, add. *Paulus* ut AE al.) pro μετὰ ταῦτα χωρισθεὶς ἐκ (cf. g) | 16 τινα om. f; id. 16sq. γ. Π. ut v. 24 β | 17sq. σὺν .. αὐτ. sfg pro καὶ Π-αν γ-α α. | 18 ἠσπ. α. f | 18sq. οὗτοι .. Ῥώμ. (*urbe* f) sf | 19 τετ.] *dixisset* f | 20 τοὺς om. D, *omn. Iud. exirent* f | secl. ἀ. τ. Ῥ. (D al.; *ab urbe* f, *ab It.* s) | 21 οἳ .. Ἀχ. D (pr. -σεν, corr. [a]) s (*hi* om. καὶ) f (*qui* om. *et*) | 21sq. D προσῆλθεν αὐτῷ (-οῖς D[b]) ὁ Π., καὶ διὰ κτέ. (α); sf [August.] (Spec. 82) ὁ δὲ Π. ἐγν. τ. Ἀ. (*agnovit A-am* s) | 22 καὶ ante διὰ om., hab. post εἶναι f [Aug.] Cassianus | ὁμόφ. καὶ add. s Aug. (D et. εἶναι om.)

εἶναι, καὶ *ἔμεινεν πρὸς αὐτοὺς καὶ ἠργάζετο* [*, ἦσαν γὰρ*
σκηνοποιοὶ τῇ τέχνῃ]. 4 *εἰσπορευόμενος δὲ εἰς τὴν συν-*
αγωγὴν κατὰ πᾶν σάββατον, †*διελέγετο ἐντιθεὶς τὸ ὄνομα*
τοῦ κυρίου Ἰησοῦ, ἔπειθέν τε οὐ μόνον Ἰουδαίους, ἀλλὰ
καὶ Ἕλληνας. 5 *Ὡς δὲ παρεγένοντο ἀπὸ τῆς Μακεδο-* 5
νίας ὅ τε Σιλᾶς καὶ Τιμόθεος, **συνεῖχε τῷ λόγῳ ὁ Παῦ-*
λος, διαμαρτυρόμενος τοῖς Ἰουδαίοις εἶναι τὸν χριστὸν Ἰησοῦν.
6 *πολλοῦ δὲ λόγου γινομένου καὶ γραφῶν διερμη-*
νευομένων, ἀντετάσσοντο Λ Ἰουδαῖοί τινες καὶ
ἐβλασφήμουν. τότε *ἐκτιναξάμενος ὁ Παῦλος τὰ ἱμάτια* 10
εἶπεν πρὸς αὐτούς· „Τὸ αἷμα ὑμῶν ἐπὶ τὴν κεφαλὴν ὑμῶν·
καθαρὸς ἐγώ, ἀπὸ τοῦ νῦν εἰς τὰ ἔθνη πορεύσομαι“. 7 *καὶ*
μεταβὰς ἐκεῖθεν, εἰσῆλθεν εἰς τὸν οἶκόν τινος ὀνόματι Τι-
τίου Ἰούστου, σεβομένου τὸν θεόν, οὗ ἡ οἰκία ἦν συνομο-
ροῦσα τῇ συναγωγῇ. 8 †*ὁ δὲ ἀρχισυνάγωγος Κρῖσπος ἐπί-* 15
στευσεν εἰς τὸν κύριον σὺν ὅλῳ τῷ οἴκῳ αὐτοῦ, καὶ πολὺς
ὄχλος *τῶν Κορινθίων ἀκούσαντες* τὸν λόγον *ἐβαπτί-*
σθησαν, *πιστεύοντες τῷ θεῷ διὰ τοῦ ὀνόματος τοῦ*
κυρίου Ἰησοῦ χριστοῦ. 9 *εἶπεν δὲ ὁ κύριος ἐν ὁράματι*
τῷ Παύλῳ· „Μὴ φοβοῦ, ἀλλὰ λάλει καὶ μὴ σιωπήσῃς, 20
10 *διότι ἐγώ εἰμι μετὰ σοῦ, καὶ οὐδεὶς ἐπιθήσεταί σοι τοῦ*
κακῶσαί σε, διότι λαός ἐστίν μοι πολὺς ἐν τῇ πόλει ταύτῃ“.
11 *καὶ ἐκάθισεν ἐνιαυτὸν καὶ μῆνας ἕξ, διδάσκων ἐν αὐ-*

1 *ἔμεινεν* EHLf [Aug.] (om. s) pro *ἔμενεν* (et. D) | D pro *παρ' αὐτοῖς* (*eum* f) | *καὶ ἠργ.* om. ut vid. f, *ἐργαζόμενος* [Aug.] | 1sq. *ἦσαν .. τέχνῃ* om. Dg (non f [Aug.]), cf. XVII, 18 | 2sq. Df (*et cum*) | 3sq. *ἐντιθεὶς .. Ἰ.* D (*καὶ ἐ.*) fgv^{cl}s | 4 *καὶ ἔπ. δὲ* D^1, *ἔπ. δὲ* D^2f | *οὐ μ.* et *ἀ.* add. Df | 5 *παρεγ. δὲ* (om. *ὡς δὲ*) D, *tunc supervenerunt* f | 6 *τοτε Σ.* D^1 | *ὁ* ante *T.* om. D | *συνείχετο* omnes (*instabat* v); f om. *συνείχετο* ..(7)*Ἰησ.* | *ὁ* om. D | 7 *χρ. κύριον Ἰ.* D | 8 *πολλοῦ .. δι.* Ds (s *γεν.*) f (*atque iterum cum*) | 9sq. f (*δὲ* et. s om.) | 10 *ὁ Π.* add. D(fw) | *ἱμ. αὐτοῦ* Dfg al. | 12 *ἀ*[*φ' ὑμῶ*]*ν νῦν* D^1, corr.^{b}, *nunc vado ad* [*gentes*] *ab vobis* f | *πορεύομαι* D^1 (corr.^{b}) H^1Lf | *καὶ* om. D^1 | 13 *ἐκ.*] *ἀπὸ τοῦ Ἀκύλα* Mf, *δὲ ἀπὸ Ἀκύ*]*λα* ut vid. D^1, corr.^{b} | D pro *οἰκίαν* | *τ. ὀ. T.* om. f (*T.* et. AD^1 corr.^{b} al.) | 14 *erat autem d. eius* f | 15 Df pro *K. δὲ ὁ ἀ.* (ante *K.* f *quida*[*m nomine*] ex v. 7) | 16 Df pro *τῷ κ.* | 16sq. *πολὺς .. ἐβαπτ.* f (*verbum dn̄i*) | 18sq. *πιστεύοντες .. χρ.* D (*κ. ἡμῶν*) Msf (om. *τ. κυρίου*) | 19 *tunc dixit* f | *ὁ* om. D | *ἐν ὀρ.* fA, om. *ἐν νυκτὶ* (et. Dg) | 20 *ὅρα μὴ σ.* f | 21 *σοι* om. DEfg | 23 Df pro *ἐκ. δὲ*; add. Dsf *ἐν Κορίνθῳ*, g *ἐκεῖ* | *αὐτοὺς* pro *ἐν α.* D (non f)

τοῖς τὸν λόγον τοῦ θεοῦ. 12 *Γαλλίωνος δὲ ἀνθυπατεύοντος τῆς Ἀχαΐας, κατεπέστησαν ὁμοθυμαδὸν οἱ Ἰουδαῖοι συλλαλήσαντες μεθ' ἑαυτῶν ἐπὶ τὸν Παῦλον, καὶ ἐπιθέντες τὰς χεῖρας ἤγαγον αὐτὸν ἐπὶ τὸ βῆμα,* 13 *καταβοῶν-*
5 *τες καὶ λέγοντες, ὅτι „παρὰ τὸν νόμον ἀναπείθει οὗτος τοὺς ἀνθρώπους σέβεσθαι τὸν θεόν“.* 14 *μέλλοντος δὲ τοῦ Παύλου ἀνοίγειν τὸ στόμα, εἶπεν ὁ Γαλλίων πρὸς τοὺς Ἰουδαίους· „Εἰ μὲν ἦν ἀδίκημά τι ἢ ῥαδιούργημα πονηρόν, ὦ ἄνδρες Ἰουδαῖοι, κατὰ λόγον ἂν ἀνεσχόμην ὑμῶν·* 15 *εἰ*
10 *δὲ ζητήματα ἔχετε περὶ λόγου καὶ ὀνομάτων καὶ νόμου τοῦ καθ' ὑμᾶς, ὄψεσθε αὐτοί· κριτὴς ἐγὼ τούτων οὐ θέλω εἶναι“.* 16 *καὶ ἀπήλασεν αὐτοὺς ἀπὸ τοῦ βήματος.* 17 *ἐπιλαβόμενοι δὲ πάντες οἱ Ἕλληνες Σωσθένην τὸν ἀρχισυνάγωγον ἔτυπτον ἔμπροσθεν τοῦ βήματος, καὶ* †ὁ Γαλλίων προσεποιεῖτο
15 αὐτὸν μὴ βλέπειν.

18 *Ὁ δὲ Παῦλος ἔτι προσμείνας ἡμέρας ἱκανάς,* †ἀπετάξατο *τοῖς ἀδελφοῖς,* πλέων *εἰς τὴν Συρίαν, καὶ σὺν αὐτῷ Πρίσκιλλα καὶ Ἀκύλας,* ὃς †εὐχὴν ἔχων *ἐν Κεγχρεαῖς τὴν κεφαλὴν* †ἐκείρατο. 19 *καταντήσας δὲ εἰς Ἔφεσον,*
20 *τῷ ἐπιόντι σαββάτῳ εἰσελθὼν εἰς τὴν συναγωγὴν διελέγετο τοῖς Ἰουδαίοις.* 20 *ἐρωτώντων δὲ αὐτῶν ἐπὶ πλείονα χρόνον μεῖναι οὐκ ἐπένευσεν,* 21 *ἀλλὰ ἀποταξάμενος* λ εἶπεν· *„Δεῖ με πάντως τὴν ἑορτὴν τὴν ἐρχομένην ποιῆσαι*

1 *τε* D | *ἀνθυπάτου ὄντος* ℵABD | 2sq. Df *συλλ.* (*et* praem. f)..*Π.* (*de Paulo* f) | 3sq. *καὶ* (om. f) *ἐ. τ. χ.* Df, it. add. *αὐτῷ* s sahid | 4 *αὐτὸν*] s add. *ad proconsulem,* it. f, sed om. *α. ἐ. τ. β.* | 4sq. add. Df | 5 *οὗτος ἀναπ.* D al. | 6 *et cum* f, *μ. οὖν* g | 8 *ἀδ. τι*] *ἐν αὐτῷ* add. f | 9 *ἄ.* add. Dfv | 10 *ζήτημα* D[1] | pro *ἐστιν* Dg (*aliquae sunt inter vos* f) | *vel de .. vel de .. vel de* f | 11 *ἐγὼ* om. ut vid. f | D pro *βούλομαι* | 12 *ἀπέλυσεν* D[1]f | *β. αὐτοῦ* f | *ἀπολ.* D[1] | 13 *πάντες* om. f | .... *Σωσθ.* D[1], *cum S.* d | 14sq. d (*tum G.*) f (non potest satis legi D[1]: *τ--ω γαλλιω -εν* sec. Scriv.) | 16 *ἔτι* om. fg | *illic complu*[*ribus d.*] f, cf. g | 16sq. *ἀπ. τ. ἀδ.* fg | 17 *πλέων* f, *et navigavit* g (*ἔπλευσεν* D, qui ceteroqui cum *α* facit) | 18sq. *qui votum cum fecisset* [*C.*] *caput tondit* f (D ut *α*, sed *προσευχήν* D[1]) | 19 Df | 20 *τῷ* (male D *καὶ τῷ*) *ἐπ. σ.* Df (in *in*[*seq.* desinit frg. f) Ms sah | post *σ.* D cum contaminatione *ἐκείνους κατέλιπεν ἐκεῖ, αὐτὸς δὲ,* ex *α* | *διελέγετο* recte Dgv (non p) pro *-ξατο* vel *-χθη* | 21 *τε αὐτῶν* D[1], *τε αὐτὸν* D[2] | 22 *μ. παρ' αὐτοῖς* DEHLPw, *μ. ἐκεῖ* sah (g) | pro *καὶ εἰπὼν* g; *ἀπετάξατο αὐτοῖς εἰπὼν* HLP, quae et ipsa in *β* conveniunt | 23sq. D (*δεῖ δὲ* D[1], *ἡμέραν* D pro *τὴν*) HLP

εἰς Ἱεροσόλυμα· πάλιν δὲ ἀνακάμψω πρὸς ὑμᾶς τοῦ θεοῦ θέλοντος“. 22 τὸν δὲ Ἀκύλαν εἴασεν ἐν Ἐφέσῳ· αὐτὸς δὲ ἀναχθεὶς ⋀ ἦλθεν εἰς Καισάρειαν. καὶ ἀναβὰς καὶ ἀσπασάμενος τὴν ἐκκλησίαν, κατέβη εἰς Ἀντιόχειαν, 23 καὶ ποιήσας χρόνον τινὰ ἐξῆλθεν, διερχόμενος καθεξῆς τὴν Γαλατικὴν χώραν καὶ Φρυγίαν, ἐπιστηρίζων πάντας τοὺς μαθητάς. 5

24 Ἰουδαῖος δέ τις ὀνόματι Ἀπολλώνιος, †γένει Ἀλεξανδρεύς, ἀνὴρ λόγιος, κατήντησεν εἰς Ἔφεσον, δυνατὸς ὢν ἐν ταῖς γραφαῖς, 25 ὃς ἦν κατηχημένος ἐν τῇ πατρίδι τὴν 10 ὁδὸν τοῦ κυρίου, καὶ ζέων τῷ πνεύματι ἀπελάλει, καὶ ἐδίδασκεν ἀκριβῶς τὰ περὶ Ἰησοῦ, ἐπιστάμενος μόνον τὸ βάπτισμα Ἰωάνου. 26 οὗτος ⋀ ἤρξατο παρρησιάζεσθαι ἐν τῇ συναγωγῇ ἐν τῷ ὀνόματι κυρίου. καὶ ἀκούσαντες ⋀ αὐτοῦ Πρίσκιλλα καὶ Ἀκύλας προσελάβοντο αὐτόν, καὶ ἀκριβέστερον 15 αὐτῷ ἐξέθεντο τὴν ὁδόν ⋀. 27 ἐν δὲ τῇ Ἐφέσῳ ἐπιδημοῦντές τινες Κορίνθιοι καὶ ἀκούσαντες αὐτοῦ, παρεκάλουν διελθεῖν σὺν αὐτοῖς εἰς τὴν πατρίδα αὐτῶν. συγκατανεύσαντος δὲ αὐτοῦ, οἱ Ἐφέσιοι ἔγραψαν τοῖς ἐν Κορίνθῳ μαθηταῖς, ὅπως ἀποδέξωνται 20 τὸν ἄνδρα· ὃς ἐπιδημήσας εἰς τὴν Ἀχαΐαν †πολὺ συνεβάλετο ταῖς ἐκκλησίαις ⋀· 28 εὐτόνως γὰρ τοῖς Ἰουδαίοις διακατηλέγχετο, δημοσίᾳ διαλεγόμενος καὶ ἐπιδεικνὺς διὰ τῶν γραφῶν εἶναι τὸν χριστὸν Ἰησοῦν.

19 1 Θέλοντος δὲ τοῦ Παύλου κατὰ τὴν ἰδίαν βου- 25

Syri gw al. lat. (lat. om. πάντως, hab. *sollemnem diem* pro ἑορτ., unde ἡμέραν D)

1 π. δὲ HLP Syr. post., καὶ π. g Sch., om. coniunct. D (hic et. πάλιν) w al. (ut α) | ανα . . . ω D¹ | 2 sq. τὸν . . ἦλθεν M (ἀνενεχθεὶς), cf. s Sch. | 3 καὶ add. Dg Syri sah | 6 D (praem. καὶ) pro στ. | 8 Dg pro Ἀ. ὀν. | Ἀπολλώνιος D pro -ώς (Ἀπελλῆς ℵ¹ ut XIX, 1, recte ut vid. in α) | Dg pro Ἀλ. τῷ γ. | 10 pro οὗτος D | add. D(g) | 10 sq. τὸν λόγον D | 11 D¹ pro ἐλάλ. | 12 τοῦ ante Ἰ. om. D | 13 ητος D¹ | τε om. D | τῇ om. D¹ | 14 add. Prov. (*dom. Ies.*), it. w. post παρρ. 13 (*Ies.*) | D¹ (-σαντος) corr.ᵃ Sch. pro ἀκ. δὲ | 14 sq. Ἀκ. κ. Π. DHLPg | 16 τοῦ θεοῦ om. Dg, fort. recte (τ. κυρ. E, τ. θ. ante ὁδ. HLP) | 16 sqq. Ds (s παρ. αὐτὸν; δὲ αὐτοῖς; pro οἱ Ἐφ. *fratres* ut α) | 21 ἐπιδ. D | ε. τ. Ἀ. Dsg | 21 sq. Dg pro σ. π. (πολὺν D¹, -λλετο D, non dg) | 22 ἐν ταῖς ἐ. D pro τοῖς πεπιστευκόσιν | διὰ τῆς χάριτος om. DMgpv (non w) Syr. post. | 23 add. DM | 24 τ. Ἰ. ε. χρ. D sah, cf. XVIII, 5 | 25 sqq. θέλοντος . . Ἀσ. Ds (ὑπόστρεφε s)

λὴν πορεύεσθαι εἰς Ἱεροσόλυμα, εἶπεν αὐτῷ τὸ πνεῦμα ὑποστρέφειν εἰς τὴν Ἀσίαν. διελθὼν δὲ τὰ ἀνωτερικὰ μέρη ἔρχεται εἰς Ἔφεσον, καὶ εὑρὼν τινὰς μαθητάς, 2 εἶπεν Λ πρὸς αὐτούς· „Εἰ πνεῦμα ἅγιον ἐλάβετε
5 πιστεύσαντες“; οἱ δὲ πρὸς αὐτόν· „Ἀλλ᾽ οὐδὲ εἰ πνεῦμα ἅγιον λαμβάνουσίν τινες ἠκούσαμεν“. 3 εἶπεν δέ· „Εἰς τί οὖν ἐβαπτίσθητε“; οἱ δὲ ἔλεγον· „Εἰς τὸ Ἰωάνου βάπτισμα“. 4 εἶπεν δὲ ὁ Παῦλος· „Ἰωάνης ἐβάπτισεν βάπτισμα μετανοίας, τῷ λαῷ λέγων, εἰς τὸν ἐρχόμενον μετ᾽ αὐτὸν ἵνα
10 πιστεύσωσιν, τουτέστιν εἰς τὸν Ἰησοῦν“. 5 ἀκούσαντες δὲ ἐβαπτίσθησαν εἰς τὸ ὄνομα τοῦ κυρίου Ἰησοῦ εἰς ἄφεσιν ἁμαρτιῶν. 6 καὶ ἐπιθέντος αὐτοῖς χεῖρας τοῦ Παύλου, εὐθέως ἐπέπεσεν τὸ πνεῦμα τὸ ἅγιον ἐπ᾽ αὐτούς, ἐλάλουν τε γλώσσαις ἑτέραις, καὶ ἐπεγίνωσκον ἐν ἑαυτοῖς,
15 ὥστε καὶ ἑρμηνεύειν αὐτὰς ἑαυτοῖς· τινὲς δὲ καὶ ἐπροφήτευον. 7 ἦσαν δὲ οἱ πάντες ἄνδρες ὡσεὶ δώδεκα. 8 εἰσελθὼν δὲ εἰς τὴν συναγωγήν, ἐν δυνάμει μεγάλῃ ἐπαρρησιάζετο ἐπὶ μῆνας τρεῖς διαλεγόμενος καὶ πείθων περὶ τῆς βασιλείας τοῦ θεοῦ. 9 Λ τινὲς μὲν οὖν αὐτῶν ἐσκλη-
20 ρύνοντο καὶ ἠπείθουν, κακολογοῦντες τὴν ὁδὸν ἐνώπιον τοῦ πλήθους τῶν ἐθνῶν. τότε ἀποστὰς ἀπ᾽ αὐτῶν ἀφώρισεν τοὺς μαθητάς, τὸ καθ᾽ ἡμέραν διαλεγόμενος ἐν τῇ σχολῇ Τυράννου, ἀπὸ ὥρας πέμπτης ἕως δεκάτης. 10 τοῦτο δὲ ἐγένετο ἐπὶ ἔτη δύο, ἕως πάντες οἱ κατοικοῦντες τὴν
25 Ἀσίαν ἤκουσαν τὸν λόγον τοῦ κυρίου, Ἰουδαῖοι Λ καὶ Ἕλληνες. 11 δυνάμεις τε οὐ τὰς τυχούσας ὁ θεὸς ἐποίει διὰ

2 Ds pro *διελθόντα* | 3 *ἔρχεται* Ds(g) pro *ἐλθεῖν* | 3sq. D(E) HLPg, pro *εὑρεῖν.. εἶπέν τε* | 4 *εἰ* om. D[1], corr.[b] | 6 D[1]s sah pro *ἔστιν* | *δὲ* D pro *τε* B al. (*ὁ δὲ ε.* א, om. coniunct. sah Sch., it. v. 4) | 7 D pro *εἶπαν* | 8 *ὁ* add. D | 10 *ε. τ. Ἰ. χρ.* g sah. Sch., *ε. χρ.* om. *Ἰ.* D | *δὲ τοῦτο* D (cf. Sch. gv | 11 *τοῦ* om. D[1], *τ. κ.* om. g; *Ἰ. χρ.* Dg sah s Sch. | 11sq. add. Ds | 12 *χ.* h. l. Dg; *χεῖρα* pro *-ας* D Sch. c. lat. quibusd. | 13 D Hieron. pro *ἦλθεν* | *αὐτοῖς* D[1] | *λαλουν* D[1] | 14 *δὲ* D | *γλ. ἑτέραις* s sah | 14sq. *καὶ κτέ.* add. s (pro *ὥστε* ד, cum deberet ד אירכנא), cf. p post *proph.*: *ita ut ipsi sibi interpretarentur* | 17 *δὲ ὁ Π. εἰς* Dg (*et cum*) Sch. (*et ingrediebatur*) | add. Ds | 19 D pro *ὡς δέ τ.* (g *et cum indur. quidam ex eis*) | 21 *τ. ἐ.* DEs Sch. | *τότε* Ds Sch. | post *ἀπ.* add. *ὁ Π.* D Sch. | 22 *τὸ* add. D | 23 *Τυραννιου* D, *τινός* add. DEHLPgv (non p) | *ἀπὸ κτέ.* Dsgw (gw *ὥρας δεκ.*) | 24sq. D Sch. pro *ὥστε πάντας κτέ.* | 25 *τοὺς λόγους* D (non Sch.) | *τε* om. D | 26 *δὲ* D[1]

τῶν χειρῶν Παύλου, 12 *ὥστε καὶ ἐπὶ τοὺς ἀσθενοῦντας ἐπι-*
φέρεσθαι ἀπὸ τοῦ χρωτὸς αὐτοῦ σουδάρια ἢ σιμικίνθια, καὶ
ἀπαλλάσσεσθαι ἀπ' αὐτῶν τὰς νόσους, τά τε πνεύματα τὰ
πονηρὰ ἐκπορεύεσθαι. 13 *ἐπεχείρησαν δέ τινες καὶ τῶν πε-*
ριερχομένων Ἰουδαίων ἐξορκιστῶν ὀνομάζειν ἐπὶ τοὺς ἔχοντας 5
τὰ πνεύματα τὰ πονηρὰ τὸ ὄνομα τοῦ κυρίου Ἰησοῦ, λέγοντες·
„Ὁρκίζω ὑμᾶς τὸν Ἰησοῦν, ὃν Παῦλος κηρύσσει“. 14 *ἐν*
οἷς καὶ †υἱοὶ Σκευᾶ τινος ἄρχοντος *ἠθέλησαν τὸ αὐτὸ*
ποιῆσαι, οἳ *ἔθος εἶχον τοὺς τοιούτους ἐξορκίζειν.*
καὶ εἰσελθόντες πρὸς τὸν δαιμονιζόμενον ἤρξαντο 10
ἐπικαλεῖσθαι τὸ ὄνομα λέγοντες· „Παραγγέλλομέν
σοι ἐν Ἰησοῦ, ὃν Παῦλος κηρύσσει, ἐξελθεῖν“. 15 *τότε*
ἀπεκρίθη Λ *τὸ πνεῦμα τὸ πονηρὸν καὶ εἶπεν αὐτοῖς· „Τὸν*
Ἰησοῦν γινώσκω καὶ τὸν Παῦλον ἐπίσταμαι· ὑμεῖς δὲ τίνες
ἐστέ“; 16 *καὶ ἐφαλόμενος ὁ ἄνθρωπος ἐπ' αὐτούς, ἐν ᾧ ἦν* 15
τὸ πνεῦμα τὸ πονηρόν, κατακυριεύσας ἀμφοτέρων ἴσχυσεν
κατ' αὐτῶν, ὥστε γυμνοὺς καὶ τετραυματισμένους ἐκφυγεῖν
ἐκ τοῦ οἴκου ἐκείνου. 17 *τοῦτο δὲ ἐγένετο γνωστὸν πᾶσιν*
Ἰουδαίοις καὶ Ἕλλησιν τοῖς κατοικοῦσιν τὴν Ἔφεσον, καὶ
ἐπέπεσεν φόβος ἐπὶ πάντας αὐτούς, καὶ ἐμεγαλύνετο τὸ ὄνομα 20
τοῦ κυρίου Ἰησοῦ. 18 *πολλοί τε τῶν πεπιστευκότων ἤρχοντο*
ἐξομολογούμενοι καὶ ἀναγγέλλοντες τὰς πράξεις αὐτῶν. 19 *ἱκα-*
νοὶ δὲ τῶν τὰ περίεργα πραξάντων συνενέγκαντες τὰς βίβλους
κατέκαιον ἐνώπιον πάντων· καὶ συνεψήφισαν τὰς τιμὰς αὐ-
τῶν, καὶ εὗρον ἀργυρίου μυριάδας πέντε. 20 *Οὕτως κατὰ* 25
κράτος ἐνίσχυεν ἡ πίστις τοῦ θεοῦ καὶ [ηὔξανεν καὶ]

2 *ἢ*] *καὶ* v[cl], *ἢ καὶ* D | 4 *καὶ*] *ἐκ* D (*καὶ* om. et. Lgp, *ἀπὸ* add. HLP) | 6 *τοῦ* om. D[1] | 7 *κηρύσσει*] add. *ut exeatis* g, cf. v. 14 | 7sqq. Ds (om. *καὶ* s, id. *υἱοὶ ἑπτὰ* et *οἳ ἠθ.*). Sed pro *ἱερ.* (Dsg: *ἀρχιερ.* plerique) verius (et. in α) *ἄρχοντος* (*principi* g[2], *pr. synag.* Cassiod.); superscriptum olim *ιερεως* et *ἀρχιερ.* et *ἱερ.* procreaverit | 8 *τὸ αὐτὸ* Ds; *similiter* et. g | 9 *οἳ* (om. D) . . *ἐξορκ.* Ds | 10sq. *καὶ* . . *λέγ.* Dsw (w *εἰσ. δὲ*; *nomen domini*) | 11sq. *παραγγ. κτέ.* eid. (w *in nomine I.*; *ἐξ. ἀπ' αὐτοῦ*; D[1] *ἐξελθ. κηρ.*) | 13sq. D (*καὶ* om. D[1]) | 15 *ἐναλλ.* D | *ἐπ'* (*εἰς* D) *α. ὁ ἄ.* DHLPg | 16 *κυριεύσας* D; *ἴσχ. κ. α.* om. Prov. recte fort., ut scr. sit *κατεκυρίευσεν* | 19 *τε* post *Ἰουδ.* om. D | 20 *φ. ἔπεσεν* AD, *φ. ἐπέπ.* g | 21 *τοῦ* om. D, cf. v. 13 | D *δὲ* (sah) *τῶν πιστευόντων* (gv) | 23 *δὲ* om. D[1] | *τὰς*] *καὶ τὰς* D | 24sq. *συμψηφίσαντες τ. τ. εὗρον* gv; *συνεψήφισον* et om. *καὶ* D[1] corr.[b] | 26 D Sch. (D *ἐνίσχυσεν*, non d; *καὶ ἡ π. τ. θ. ηὔξ.* D; Sch. post *ἐν.* nihil nisi *et cresc. fides Dei*)

ἐπληθύνετο. 21 Τότε Παῦλος ἔθετο ἐν τῷ πνεύματι διελθὼν τὴν Μακεδονίαν καὶ Ἀχαΐαν πορεύεσθαι εἰς Ἱεροσόλυμα, εἰπὼν ὅτι „μετὰ τὸ γενέσθαι με ἐκεῖ δεῖ με καὶ Ῥώμην ἰδεῖν“. 22 καὶ ἀποστείλας εἰς τὴν Μακεδονίαν δύο τῶν δια-
5 κονούντων αὐτῷ, Τιμόθεον καὶ Ἔραστον, αὐτὸς ἐπέσχεν χρόνον εἰς τὴν Ἀσίαν. 23 Ἐγένετο δὲ κατὰ τὸν καιρὸν ἐκεῖνον τάραχος οὐκ ὀλίγος περὶ τῆς ὁδοῦ. 24 Δημήτριος γάρ τις ἦν ἀργυροκόπος, ποιῶν ναοὺς ἀργυροῦς Ἀρτέμιδος, *ὃ παρεῖχε τοῖς τεχνίταις οὐκ ὀλίγην ἐργασίαν. 25 οὗτος συν-
10 αθροίσας πάντας τοὺς τεχνίτας καὶ τοὺς συνεργάτας αὐτῶν ἔφη πρὸς αὐτούς· „Ἄνδρες συντεχνῖται, ἐπίστασθε ὅτι ἐκ ταύτης τῆς ἐργασίας ἡ εὐπορία ἡμῖν ἐστίν, 26 καὶ θεωρεῖτε καὶ ἀκούετε, ὅτι οὐ μόνον ἕως Ἐφέσου, ἀλλὰ σχεδὸν πάσης τῆς Ἀσίας ὁ Παῦλος οὗτος τίς
15 *ποτε πείσας μετέστησεν ἱκανὸν ὄχλον, λέγων ὅτι οὐκ εἰσὶν θεοὶ οἱ διὰ χειρῶν γινόμενοι. 27 οὐ μόνον δὲ τοῦτο κινδυνεύει ἡμῖν τὸ μέρος εἰς ἀπελεγμὸν ἐλθεῖν, ἀλλὰ καὶ τὸ τῆς μεγάλης θεᾶς Ἀρτέμιδος ἱερὸν εἰς οὐθὲν λογισθήσεται, μέλλει τε καὶ καθαιρεῖσθαι ἡ μεγαλειότης αὐτῆς, ἣν ὅλη
20 ἡ Ἀσία καὶ ἡ οἰκουμένη σέβεται“. 28 Ἀκούσαντες δὲ καὶ γενόμενοι πλήρεις θυμοῦ, δραμόντες εἰς τὸ ἄμφοδον ἔκραζον λέγοντες· „Μεγάλη ἡ Ἄρτεμις Ἐφεσίων“. 29 καὶ συνεχύθη ὅλη ἡ πόλις Λ, ὥρμησάν τε ὁμοθυμαδὸν εἰς τὸ

1 ἐπλήθυνε D[1] corr.[b] | τότε D pro ὡς δὲ ἐπληρώθη ταῦτα | ὁ ante Π. om. D; Π. h. l. DE | διελθεῖν ADEPg, καὶ (*et sic* g) ante πορ. (2) add. DP[2]g | 2 καὶ τὴν Ἀ. ADE | 4 Dg pro ἀ. δὲ | 6 χρ. ὀλίγον D | ἐν τῇ Ἀσίᾳ D | 7 ὁδ. τ. κυρ. gv, τοῦ θεοῦ s Sch. | 8 ἦν pro ὀνόματι D cf. Sch. (ὀν. om. et. g sah) | ἀργ. om. Bg, recte fort. | ὃ addidi, D ὃς, καὶ Sch., om. rell. | 9 οὗτος Dg sah (sah o. οὖν) Sch., om. καὶ post συν. | 10 πάντας add. Sch. sah | 10sq. τοὺς τεχνίτας.. αὐτῶν Sch., τοὺς τ. sah, τ. περὶ τὰ τοιαῦτα (α) τεχν. D, cf. praef. | 11 D pro εἶπεν; add. πρὸς αὐτούς D sah (*iis*) Sch. | συντ. add. Ds sah | 12 ἡ] *magna* p[2]w | 13 ἀκ. κ. θ. D Sch. | ὅτι om. D | ἕως add D, cf. XXIII, 23 | εφεσιου D (*Ephesiis* g) | 14 ἀλλὰ καὶ σχ. ADLg (σχ. om. g) | 14sq. add. D[1] τις τοτε, g *nescio quem*, cf. XVII, 7 | 15 ὅτι] οὗτοι add. D | 16 γενόμενοι D[1] (corr.[b]) L | 17 ἡμ. ante κ. D(g) | 18 θεᾶς om. p[2] | ἱερ. Ἀ. DEHP | 19sq. lacunose et corrupte D (pro μέλλει..Ἀσ.) ἀλλὰ καθερισθαι μέλλει (-ειν D[b]) η ὅλη Ἀσία; gpv *sed* (om. p[2]) *et destrui incipiet maiestas eius, quam* etc., recte in extremis | 20 ἡ prius om. D, v. supr. | ταῦτα δὲ ἀκ. D (gv *his auditis* ut v. 5) | 21 add. DMs (s praem. καί) | 22 ἡ om. D[1] | 23 D[1] (add. αἰσχύνης, = *confusionis* sec.

θέατρον, συναρπάσαντες Γάϊον καὶ Ἀρίσταρχον Μακεδόνας, συνεκδήμους Παύλου. 30 †βουλομένου δὲ τοῦ Παύλου εἰσελθεῖν εἰς τὸν δῆμον, †οἱ μαθηταὶ ἐκώλυον Λ· 31 τινὲς δὲ καὶ τῶν Ἀσιαρχῶν ὑπάρχοντες αὐτῷ φίλοι, πέμψαντες πρὸς αὐτὸν παρεκάλουν μὴ δοῦναι ἑαυτὸν εἰς τὸ θέατρον. 5
32 ἄλλοι μὲν οὖν ἄλλο τι ἔκραζον· ἦν γὰρ ἡ ἐκκλησία συγκεχυμένη, καὶ οἱ πλείους οὐκ ᾔδεισαν, τίνος ἕνεκεν συνεληλύθεισαν. 33 ἐκ δὲ τοῦ ὄχλου κατεβίβασαν Ἀλέξανδρον, προβαλόντων αὐτὸν τῶν Ἰουδαίων· ὁ δὲ Ἀλέξανδρος κατασείσας τῇ χειρὶ ἤθελεν ἀπολογεῖσθαι τῷ δήμῳ. 34 ἐπιγνόντες 10
δὲ ὅτι Ἰουδαῖός ἐστιν, φωνὴ ἐγένετο μία ἐκ πάντων, ὡς ἐπὶ ὥρας δύο κραζόντων· „Μεγάλη ἡ Ἄρτεμις Ἐφεσίων, μεγάλη ἡ Ἄρτεμις Ἐφεσίων“. 35 καταστείλας δὲ ὁ γραμματεὺς τὸν ὄχλον φησίν· „Ἄνδρες Ἐφέσιοι, τίς γάρ ἐστιν ἀνθρώπων, ὃς οὐ γινώσκει τὴν ἡμετέραν πόλιν νεωκόρον οὖσαν τῆς 15
μεγάλης Ἀρτέμιδος καὶ τοῦ διοπετοῦς; 36 ἀναντιρρήτων οὖν ὄντων τούτων, δέον ἐστὶν ὑμᾶς κατεσταλμένους ὑπάρχειν καὶ μηδὲν προπετὲς πράσσειν. 37 ἠγάγετε γὰρ τοὺς ἄνδρας τούτους ἐνθάδε μήτε ἱεροσύλους μήτε βλασφημοῦντας τὴν θεὸν ἡμῶν. 38 εἰ μὲν οὖν Δημήτριος οὗτος καὶ οἱ σὺν 20
αὐτῷ τεχνῖται ἔχουσιν πρός τινα λόγον, ἀγοραῖοι ἄγονται καὶ ἀνθύπατοί εἰσιν· ἐγκαλείτωσαν ἀλλήλοις. 39 εἰ δέ τι περαιτέρω ἐπιζητεῖτε, ἐν τῇ ἐννόμῳ ἐκκλησίᾳ ἐπιλυθήσεται. 40 καὶ γὰρ κινδυνεύομεν σήμερον ἐγκαλεῖσθαι στάσεως, μηθενὸς αἰτίου ὄντος, περὶ οὗ δυνησόμεθα ἀποδοῦναι λόγον 25

R. Harris, ex α) g Sch. | *et impetu facto irruerunt omnes unan.* g, ὥ. δὲ D

1 καὶ συν. D (*et rapuerunt* g) | 2 Dg pro Π. δὲ β. | 3 D (Sch.) pro οὐκ εἴων αὐτὸν οἱ μ. (α. om. et. gv) | 4 D pro ὄντες | 5 θ.] add. Prov. *neque in turbam* | 6 τι post ἄ. om. D (gv), cf. XXI, 34 | ἡ γὰρ ἐ. ἦν D | 7 πλεῖστοι D | 8 κατεβ. D[1] (gv *detraxerunt*) pro προεβ. (D[2] al.) vel συνεβ., recte ut vid. | 9 προβαλλ. D | 11 ἐκ ante π. om. Dgv | 12 ἡ om. D[1]; repetita vox μ. ἡ Ἄ. Ἐ. in B tantum est | 13 κατασείσας DE | 14 ἄνθρωπος D[2] (ὁ ἄ. D[1]) HLPg | 15 pro Ἐφεσίων | οὖσαν] εἶναι D | 19 ἐνθ. add. Ds sah | D pro οὔτε.. οὔτε | 20 θεὰν D[1]E[2]P | οὗτος add. D Sch. | καὶ οἱ] οἱ καὶ D[1] | 21 πρὸς αὐτούς τινα D, *cum aliquos quendam verb.* d, *aliquid inter se* (πρὸς αὐτ.) g | 23 pro περαιτέρω (Bdgv) et. D cum cet. περὶ ἑτέρων | τ. ἐνν.] τῷ νόμῳ D[1] | 24 σ. ἐ. στ. D, *argui seditionis hodiernae* v, *accusari quasi seditiosi hodie* g; verius utique quam ℵ cett. | μηθ. D | 25 D pro ὑπάρχοντος | περὶ om. g (hab. p. 68, 1 ante τῆς cum ℵABE)

τῆς συστροφῆς ταύτης". 41 Καὶ ταῦτα εἰπὼν ἀπέλυσεν τὴν ἐκκλησίαν.

20 1 Μετὰ δὲ τὸ παύσασθαι τὸν θόρυβον, μεταπεμψάμενος ὁ Παῦλος τοὺς μαθητὰς καὶ πολλὰ παρακαλέσας, *ἀπα-
5 σπασάμενος ἐξῆλθεν ∧ εἰς Μακεδονίαν. 2 διελθὼν δὲ πάντα τὰ μέρη ἐκεῖνα καὶ παρακαλέσας ∧ χρησάμενος λόγῳ πολλῷ, ἦλθεν εἰς τὴν Ἑλλάδα, 3 ποιήσας τε μῆνας τρεῖς, ἠθέλησεν †ἀναχθῆναι εἰς Συρίαν, καὶ γενηθείσης αὐτῷ ἐπιβουλῆς ὑπὸ τῶν Ἰουδαίων ∧, εἶπεν τὸ πνεῦμα αὐτῷ ὑποστρέ-
10 φειν διὰ Μακεδονίας. 4 μέλλοντος οὖν ἐξιέναι αὐτοῦ, ⟨προήρχοντο⟩ μέχρι τῆς Ἀσίας Σώπατρος Πύρρου Βεροιαῖος, Θεσσαλονικέων δὲ Ἀρίσταρχος καὶ Σεκοῦνδος καὶ Γάϊος, Δερβαῖος *δέ Τιμόθεος, Ἐφέσιοι δὲ Τυχικὸς καὶ Τρόφιμος. 5 οὗτοι προελθόντες ἔμενον αὐτὸν ἐν Τρῳάδι· 6 ἡμεῖς δὲ
15 ἐξεπλεύσαμεν μετὰ τὰς ἡμέρας τῶν ἀζύμων ἀπὸ Φιλίππων, καὶ ἤλθομεν πρὸς αὐτοὺς εἰς τὴν Τρῳάδα πεμπταῖοι, ἐν ᾗ καὶ διετρίψαμεν ἡμέρας ἑπτά. 7 Ἐν δὲ τῇ μιᾷ τῶν σαββάτων συνηγμένων ἡμῶν τοῦ κλάσαι ἄρτον, ὁ Παῦλος διελέγετο αὐτοῖς καὶ ἐπεστήριζεν τὰς ψυχὰς αὐτῶν,
20 καὶ μέλλων ἐξιέναι τῇ ἐπαύριον παρέτεινεν ∧ τὸν λόγον μέχρι μεσονυκτίου· 8 ἦσαν δὲ λαμπάδες ἱκαναὶ ἐν τῷ ὑπερῴῳ, οὗ ἦμεν συνηγμένοι. 9 καθεζόμενος δέ τις νεανίας ὀνόματι Εὔτυχος ἐπὶ τῇ θυρίδι, κατεχόμενος ὕπνῳ βαρεῖ, διαλεγομένου Παύλου ἐπὶ πλεῖον, κατενεχθεὶς ὑπὸ τοῦ ὕπνου ἔπε-

3 προσκαλεσάμ. D c. AHLP(gv) | 4 ὁ om. D | πολλὰ add. D | παρακελεύσας D[1] | ἀποσπασ. D[1] pro ἀσπ.; emendavi | 5 πορεύεσθαι om. Dg | πάντα add. D | 6 εκεινη D[1] | χρ. pro παρ. αὐτ. D[1] corr.[b], vix integre. Cf. XI, 2. Παρ., om. α., d | 7 δὲ D | 7sqq. ἠθέλησεν .. Συρ. (om. τὴν) Ds Ephr., sed post Ἰουδ.; transposui | 8 καὶ γενηθ. D (-θεις D[1] corr.[b]) pro γενομένης | αὐτῷ h. l. DHLPv | 9 εἶπεν δὲ (ita Ds, *dixitque* d) τ. π. α. Dsg | 10 τῆς Μ. D | Ds (δὲ s) | 11 adieci προήρχ.; α συνείπετο δὲ αὐτῷ, συνείποντο α. s | μ. τ. Ἀ. DsAEHLPgw Sch. | Σωσίπ. p[2]w al. | 13 D[1] Δουβεριος, *doverius* d, *doberius* g, Δούβριος ci. Ramsay | δὲ Valckenaer. al. pro καὶ | Ds pro Ἀσιανοὶ | Τυχ.] Εὔτυχος D, ex v. 9 | 14 δὲ post οὗτ. om. DHLPgv | D pro ἡμᾶς | 16 πρ. α. om. Iren. | τὴν om. D | D pro ἄχρι ἡμερῶν πέντε (*in diebus quinque* gv), om. Iren. | 16sq. D pro οὗ (*ubi et* Syr. post., Iren.) | 17 ἐν τε D Sch. | μιᾷ πρώτῃ D | 18 τοῦ add. D | 19 καὶ .. αὐτῶν add. gw | 20 καὶ g | τε om. Dg | 21 ὑπολαμπάδες D | 23 D pro τῆς θυρίδος | Dg (*pressus*) pro καταφερόμενος | Dg pro βαθεῖ | 24 τοῦ ante Π. om. D | ὑπὸ DH pro ἀπὸ (*deductus a fenestra* g)

σεν ἀπὸ τοῦ τριστέγου κάτω καὶ ἤρθη νεκρός. 10 καταβὰς
δὲ ὁ Παῦλος ἐπέπεσεν αὐτῷ καὶ συμπεριλαβὼν εἶπεν· „Μὴ
θορυβεῖσθε· ἡ γὰρ ψυχὴ αὐτοῦ ἐν αὐτῷ ἐστιν“. 11 ἀναβὰς
δὲ καὶ κλάσας τὸν ἄρτον καὶ γευσάμενος, ἐφ' ἱκανόν τε ὁμι-
λήσας ἄχρι αὐγῆς, οὕτως ἐξῆλθεν. 12 ἀσπαζομένων δὲ 5
αὐτῶν, ἤγαγον τὸν νεανίσκον ζῶντα, καὶ παρεκλήθησαν
οὐ μετρίως. 13 Ἡμεῖς δὲ κατελθόντες ἐπὶ τὸ πλοῖον ἀνήχθη-
μεν ἐπὶ τὴν Ἄσσον, ἐκεῖθεν μέλλοντες ἀναλαμβάνειν τὸν
Παῦλον· οὕτως γὰρ διατεταγμένος ἦν, ὡς μέλλων αὐτὸς
πεζεύειν. 14 ὡς δὲ συνέβαλεν ἡμῖν εἰς τὴν Ἄσσον, ἀνα- 10
λαβόντες αὐτὸν ἤλθομεν εἰς Μιτυλήνην, 15 κἀκεῖθεν ἀπο-
πλεύσαντες τῇ ἐπιούσῃ κατηντήσαμεν ἄντικρυς Χίου, τῇ δὲ
ἑτέρᾳ παρεβάλομεν εἰς Σάμον, καὶ μείναντες ἐν Τρω-
γιλίᾳ, τῇ Λ ἐχομένῃ ἤλθομεν εἰς Μίλητον. 16 κεκρίκει γὰρ
ὁ Παῦλος παραπλεῦσαι τὴν Ἔφεσον, μήποτε γενηθῇ αὐτῷ 15
κατάσχεσίς τις ἐν τῇ Ἀσίᾳ· ἔσπευδεν γάρ, εἰ δυνατὸν
εἴη αὐτῷ, τὴν ἡμέραν τῆς πεντηκοστῆς γενέσθαι εἰς Ἱερο-
σόλυμα. 17 ἀπὸ δὲ τῆς Μιλήτου πέμψας εἰς Ἔφεσον, μετε-
καλέσατο τοὺς πρεσβυτέρους τῆς ἐκκλησίας· 18 ὡς δὲ παρεγέ-
νοντο πρὸς αὐτόν, ὁμόσε ὄντων αὐτῶν εἶπεν πρὸς αὐτούς· 20
„Ὑμεῖς ἐπίστασθε, ἀδελφοί, ἀπὸ πρώτης ἡμέρας ἀφ' ἧς
ἐπέβην εἰς τὴν Ἀσίαν, ὡς τριετίαν ἢ καὶ πλεῖον, πο-
ταπῶς μεθ' ὑμῶν *ἤμην διὰ παντὸς χρόνου Λ, 19 δου-
λεύων τῷ κυρίῳ μετὰ πάσης ταπεινοφροσύνης καὶ δακρύων
καὶ πειρασμῶν τῶν συμβάντων μοι ἐν ταῖς ἐπιβουλαῖς τῶν 25
Ἰουδαίων, 20 ὡς οὐδὲν ὑπεστειλάμην τῶν συμφερόντων τοῦ
μὴ ἀναγγεῖλαι ὑμῖν καὶ διδάξαι Λ †κατ' οἴκους καὶ δημοσίᾳ,

1 καί] και ος D^1 | 2 ἔπεσεν ἐπ' D | εἶπεν] και praem. D^1 | 4 τε] δὲ D | 5 οὕτως om. g | 6 D pro ἤγ. δὲ τ. παῖδα | 7 D (g Sch.) pro προ(σ). | εἰς D (non g) | 8 ἐπὶ] εἰς DHLP | 9 ἦν διατ. DHLP | ὡς add. D | 13 sq. DHLPg Syri (-υλία D, al. -υλ(λ)ίῳ, *-ilio* g) pro τῇ δὲ | 14 ἐρχομ. D^1 | 15 sq. D pro ὅπως μὴ γένηται α. χρονοτριβῆσαι (*et reverebatur ne qua mora illi fieret* g) | 16 sq. εἰ .. αὐτῷ om. DH (*si posset fieri* g Sch.) | 17 εἰς τὴν D; *ut diem* . . *faceret Hier.* gv Sch., cf. XVIII, 21 | ἐν D^1 | 18 sq. μετεπέμψατο D | *omnes presb.* g | 20 ὁ. ὄ. α. add. A (ὁμοῦ) D (D^1 ομωσεοντων), cf. Egv; sed vid. casu in ceteris excidisse | D^1 pro αὐτοῖς | 21 ἀδ. add. D | ἐφ' ἧς D^1 | 22 ὡς .. πλ. D^1 | pro πῶς D^1 | 23 ἦν D^1, *fui* h. l. dgv; διὰ om. D, *per omne t.* dgv | 26 ὑπεστ.] add. *vobis* pw | 27 μὴ om. D (cf. v. 27) | ὑμῖν] add. *omne consi-*

21 *διαμαρτυρόμενος Ἰουδαίοις τε καὶ Ἕλλησιν τὴν εἰς θεὸν μετάνοιαν καὶ πίστιν διὰ τοῦ κυρίου ἡμῶν Ἰησοῦ χριστοῦ.* 22 *καὶ νῦν ἰδοὺ δεδεμένος ἐγὼ τῷ πνεύματι πορεύομαι εἰς Ἰερουσαλήμ, τὰ ἐν αὐτῇ συναντήσοντά μοι μὴ γινώσκων,*
5 23 *πλὴν ὅτι τὸ πνεῦμα τὸ ἅγιον κατὰ πόλιν διαμαρτύρεταί μοι λέγον, ὅτι δεσμὰ καὶ θλίψεις με μένουσιν.* 24 *ἀλλ᾽ οὐδενὸς λόγον ἔχω, οὐδὲ ποιοῦμαι τὴν ψυχὴν τιμίαν ἐμαυτῷ, τοῦ τελειῶσαι τὸν δρόμον μου καὶ τὴν διακονίαν τοῦ λόγου, ἣν παρέλαβον παρὰ τοῦ κυρίου Ἰησοῦ, διαμαρτύρασθαι*
10 *τὸ εὐαγγέλιον τῆς χάριτος τοῦ θεοῦ.* 25 *καὶ νῦν ἰδοὺ ἐγὼ οἶδα, ὅτι οὐκέτι ὄψεσθε τὸ πρόσωπόν μου ὑμεῖς πάντες, ἐν οἷς διῆλθον κηρύσσων τὴν βασιλείαν.* 26 *ἄχρι οὖν τῆς σήμερον ἡμέρας* Λ *καθαρός εἰμι ἀπὸ τοῦ αἵματος πάντων,* 27 καὶ οὐ διέλιπον κηρύϲϲων *πᾶσαν τὴν βουλὴν τοῦ*
15 *θεοῦ ὑμῖν.* 28 *προσέχετε ἑαυτοῖς καὶ παντὶ τῷ ποιμνίῳ, ἐν ᾧ ὑμᾶς τὸ πνεῦμα τὸ ἅγιον ἔθετο ἐπισκόπους, ποιμαίνειν τὴν ἐκκλησίαν τοῦ κυρίου, ἣν περιεποιήσατο ἑαυτῷ διὰ τοῦ αἵματος τοῦ ἰδίου.* 29 *ἐγὼ οἶδα, ὅτι εἰσελεύσονται μετὰ τὴν ἄφιξίν μου λύκοι βαρεῖς εἰς ὑμᾶς, μὴ φειδόμενοι τοῦ*
20 *ποιμνίου,* 30 *καὶ ἐξ ὑμῶν αὐτῶν ἀναστήσονται ἄνδρες λαλοῦντες διεστραμμένα, τοῦ ἀποσπᾶν τοὺς μαθητὰς ὀπίσω αὐτῶν.* 31 *διὸ γρηγορεῖτε, μνημονεύοντες ὅτι τριετίαν νύκτα καὶ ἡμέραν οὐκ ἐπαυσάμην μετὰ δακρύων νουθετῶν ἕνα ἕκαστον.* 32 *καὶ τὰ νῦν παρατίθεμαι ὑμᾶς τῷ θεῷ καὶ τῷ*
25 *λόγῳ τῆς χάριτος αὐτοῦ, τῷ δυναμένῳ οἰκοδομῆσαι καὶ δοῦ-*

lium dei (v. 27) p^2 | *ὑμᾶς* om. Lucif. (non g) | D pro *δημ. κ. κατ᾽ οἴκ.*

1 *-ούμενος* D^1 | *τὸν θ.* ADHLP | 2 D pro (*τὴν*) *εἰς τὸν κ. ἡμ. Ἰησοῦν* (*χρ-όν*) | 3 *ἰδοὺ* om. p | *ἐγὼ δεδ.* DHLPg (om. *ἐγὼ* Lucif.), cf. v. 25 | 4 *Ἱεροσόλυμα* D | *ἐν αὐτῇ* om. p | *-σαντα* D | D pro *εἰδώς* | 5 *τὸ ἅγ. πν.* D | *κ. πᾶσαν π.* D (cf. lat.) | 6 *μέν. μοι* D | *ἐν Ἱερ.* add. Ds sah gw Lucif. (ante *με μέν.* v, sed om. p) | 7 *ἔχω μοι* D; g Lucif. D^2 cum $\aleph^1$B al. *λόγου*, om. *ἔχω οὐδὲ* | *ψ. μου* D^1 | *ἐμαυτοῦ* D^1 (corr. ^{b}) | 8 *τοῦ* D pro *ὡς* (*ὥστε* E, *ὡς τὸ* C) | 8sq. *τ. λόγου* add. Dp^2 | 9 *ὃν* D^1 | D pro *ἕλ. δ. Ἰουδαίοις καὶ Ἕλλησιν* D sah g Lucif. Ephr., e v. 21? 10 *τοῦ* om. D^1 | 12 *β. τοῦ Ἰησοῦ* D sah, *domini I.* g Lucif. 12sq. D^1 pro *διὸ μαρτύρομαι ὑμῖν ἐν τῇ σ. ἡμ., ὅτι* | 14 g Lucif. pro *οὐ γὰρ ὑπεστειλάμην τοῦ μὴ* (*μὴ* om. D^1) *ἀναγγεῖλαι* | 15 *ὑμῖν* om. g Lucif. | 16 *τὸ ἅγ. πν.* D ut v. 23 | 17 *ἑαυτῷ* add. D (Iren.) | 19 *ἄφεξιν* D | 21 *ἀποστρέφειν* D (Ir.) | 23 *καὶ*] *δὲ* D^1 | 24 *ἕκ. ὑμῶν* DEg Lucif. | *κυρίῳ* Bg | 25 *οἰκ. ὑμᾶς* DEg

ναι κληρονομίαν ἐν τοῖς ἡγιασμένοις πᾶσιν. 33 ἀργυρίου ἢ χρυσίου ἢ ἱματισμοῦ οὐδενὸς ἐπεθύμησα· 34 αὐτοὶ γινώσκετε, ὅτι ταῖς χρείαις μου *πάσαις καὶ τοῖς οὖσιν μετ' ἐμοῦ ὑπηρέτησαν αἱ χεῖρες αὗται πάντα· 35 ὑπέδειξα ὑμῖν, ὅτι οὕτως κοπιῶντας δεῖ ἀντιλαμβάνεσθαι τῶν ἀσθενούντων, μνημονεύειν τε τῶν λόγων τοῦ κυρίου Ἰησοῦ, ὅτι αὐτὸς εἶπεν μακάριον μᾶλλον τὸν διδόντα ὑπὲρ τὸν λαμβάνοντα“. 36 Καὶ ταῦτα εἴπας, θεὶς τὰ γόνατα σὺν πᾶσιν αὐτοῖς προσηύξατο. 37 ἱκανὸς δὲ κλαυθμὸς ἐγένετο πάντων, καὶ ἐπιπεσόντες ἐπὶ τὸν τράχηλον τοῦ Παύλου κατεφίλουν αὐτόν, 38 μάλιστα ἐπὶ τῷ λόγῳ ὀδυνώμενοι, ᾧ εἰρήκει, ὅτι οὐκέτι μέλλουσιν τὸ πρόσωπον αὐτοῦ θεωρεῖν. προέπεμπον δὲ αὐτὸν εἰς τὸ πλοῖον. 1 †Ἀποσπασθέντων δὲ ἡμῶν ἀπ' αὐτῶν, ἐπιβάντες ἀνήχθημεν, καὶ εὐθυδρομήσαντες ἤκομεν εἰς Κῶ, τῇ δὲ ἐπιούσῃ εἰς Ῥόδον, κἀκεῖθεν εἰς Πάταρα καὶ Μύρα. 2 καὶ εὑρόντες πλοῖον διαπερῶν εἰς Φοινίκην, ἐπιβάντες ἀνήχθημεν. 3 ἀναφάναντες δὲ τὴν Κύπρον, καταλιπόντες αὐτὴν εὐώνυμον ἐπλέομεν εἰς Συρίαν, καὶ κατήλθομεν εἰς Τύρον· ἐκεῖσε γὰρ τὸ πλοῖον ἦν ἀποφορτιζόμενον τὸν γόμον. 4 ἀνευρόντες δὲ τοὺς μαθητάς, ἐπεμείναμεν αὐτοῦ ἡμέρας ἑπτά, οἵτινες τῷ Παύλῳ ἔλεγον διὰ τοῦ πνεύματος μὴ ἐπι-

1 ἐν αὐτοῖς (α. del. D²) τοῖς ἡγ. τῶν πάντων D; add. s *cui gloria in saecula, amen* | καὶ χρ. D (pars codd. v) | 2 οὐδ. ὑμῶν DE | 3 πᾶσιν καὶ D, *omnibus et* g | 4 αὗται] μου D | πᾶσι D¹ (corr. ᵇ) et [August.] de div. script. 83. 143 | 6 τε om. D¹ | οὗτος D¹ | 6 sq. Const. apost. 4, 3 μακάριον εἶπεν εἶναι τὸν διδόντα ἤπερ (sed ὑπὲρ Anastas. Sin.) τὸν λαμβ., quae fere vera huius effati forma vid., cf. Sch. (cum μακάριόν ἐστι τὸ διδόναι usui NT. repugnet); μακάριός ἐστιν μᾶλλον διδόναι ἢ λ-ειν D¹g | 8 D¹ (corr. ᵃ) pro εἰπών | αὐτοῦ om. D¹g | προσεύξ. B¹D | 11 ὀδυν. h. l. D | ᾧ εἰρ. ὅτι] ὅτι εἶπεν D¹ (corr. ᵃ) | μελλει[σο]ι D¹ sec. Scriv., puto μέλλεται fuisse, = -τε (*videbitis* g) | 12 μου g pro αὐτοῦ (om. D¹) | ἐπὶ D, *usque ad* s Sch. | 13 sq. D¹ καὶ ἐπιβ. ἀνήχθ. ἀποσπ. δὲ ἡμ. ἀπ. α.; g *cum autem ab illis discessissemus*, om. ἐπιβ. ἀν. καὶ (simil. Sch.), fort. recte, cf. v. 2 | 14 D pro ἤλθομεν | om. τὴν ante Κ. D | 15 D pro ἑξῆς | om. τὴν ante Ῥ. D | καὶ Μ. add. D (*deinde M.* g, *et inde M.* w; sim. sah) | 16 inde ab ἐπιβ. deficit D (inde ab ἀδελφ. v. 7 et. d) usque ad προφ. v. 10 | 17 ἀναφ.] *pervenissemus* p¹ | καὶ ante καταλ. (ℵBE al.) et. dp (non g) | 18 ἐπλ.] *collavimus* d, *navigavimus* gv (sed *-abamus* p) | 19 ἦν τὸ πλ. HLPdg | 20 *et inv.* d | τοὺς om. HLP | αὐτοῦ] *apud eos* de, cf. XV, 34 | 21 οἵτινες] τινὲς δὲ sec. d; *hique* g

βαίνειν εἰς Ἱεροσόλυμα. 5 *τῇ δὲ ἑξῆς ἡμέρᾳ ἐξελθόντες ἐπορευόμεθα* τὴν ὁδὸν ἡμῶν, *προπεμπόντων ἡμᾶς πάντων σὺν γυναιξὶν καὶ τέκνοις ἕως ἔξω τῆς πόλεως, καὶ θέντες τὰ γόνατα ἐπὶ τὸν αἰγιαλὸν προσευξάμενοι* 6 *ἀπησπα-*
5 *σάμεθα ἀλλήλους καὶ ἀνέβημεν εἰς τὸ πλοῖον, ἐκεῖνοι δὲ ὑπέστρεψαν εἰς τὰ ἴδια.* 7 *Ἡμεῖς δὲ τὸν πλοῦν διανύσαντες ἀπὸ Τύρου κατηντήσαμεν εἰς Πτολεμαΐδα, καὶ ἀσπασάμενοι τοὺς ἀδελφοὺς ἐμείναμεν ἡμέραν μίαν παρ' αὐτοῖς.* 8 *τῇ δὲ ἐπαύριον ἐξελθόντες ἤλθομεν εἰς Καισάρειαν, καὶ εἰσελ-*
10 *θόντες εἰς τὸν οἶκον Φιλίππου τοῦ εὐαγγελιστοῦ, ὄντος ἐκ τῶν ἑπτά, ἐμείναμεν παρ' αὐτῷ.* 9 *τούτῳ δὲ ἦσαν θυγατέρες τέσσαρες παρθένοι προφητεύουσαι.* 10 *ἐπιμενόντων δὲ ἡμέρας πλείους, κατῆλθέν τις ἀπὸ τῆς Ἰουδαίας προφήτης ὀνόματι Ἄγαβος,* 11 *καὶ ἐλθὼν πρὸς ἡμᾶς καὶ ἄρας τὴν*
15 *ζώνην τοῦ Παύλου, δήσας ἑαυτοῦ τοὺς πόδας καὶ τὰς χεῖρας εἶπεν· „Τάδε λέγει τὸ πνεῦμα τὸ ἅγιον· Τὸν ἄνδρα οὗ ἐστιν ἡ ζώνη αὕτη, οὕτως δήσουσιν εἰς Ἰερουσαλὴμ οἱ Ἰουδαῖοι καὶ παραδώσουσιν εἰς χεῖρας ἐθνῶν".* 12 *ὡς δὲ ἠκούσαμεν ταῦτα, παρ α καλοῦμεν ἡμεῖς καὶ οἱ ἐντόπιοι τ ὸ ν Π α ῦ λ ο ν*
20 *τοῦ μὴ ἀναβαίνειν αὐτὸν εἰς Ἰερουσαλήμ.* 13 *εἶ π ε ν δ ὲ π ρ ὸ ς ἡ μ ᾶ ς ὁ Παῦλος· „Τί ποιεῖτε κλαίοντες καὶ θορυ-β ο ῦ ν τ έ ς μου τὴν καρδίαν; ἐγὼ γὰρ οὐ μόνον δεθῆναι ἀλλὰ καὶ ἀποθανεῖν εἰς Ἰερουσαλὴμ ἑτοίμως ἔχω ὑπὲρ τοῦ ὀνόματος τοῦ κυρίου Ἰησοῦ".* 14 *μὴ πειθομένου δὲ αὐτοῦ,*
25 *ἡσυχάσαμεν εἰπόντες π ρ ὸ ς ἀ λ λ ή λ ο υ ς· „Τοῦ κυρίου τὸ θέλημα γινέσθω".*

15 *Μετὰ δέ τ ι ν α ς ἡμέρας ἀ π ο τ α ξάμενοι ἀ ν α βαίνομεν εἰς Ἱεροσόλυμα·* 16 *συνῆλθον δὲ καὶ τῶν μαθητῶν ⟨τῶν⟩ ἀπὸ Καισαρείας σὺν ἡμῖν· ο ὗ τ ο ι δ ὲ *ἦ γ ο ν ἡ μ ᾶ ς π ρ ὸ ς*

1 *sequenti autem die* d (*et expletis diebus* g [om. *et*] vp) | 2 *τ. ὁδ. ἡμ.* add. d (cf. VIII, 39) | *πάντων ἡμ.* sec. d | 3 *ἕως* om. ℵdg | 4sq. *προσευξάμεθα καὶ ἀσπασάμενοι ἀλλ. ἀν.* HLPgv(d) | 11 *τούτῳ δὲ*] *ᾧ* g Sch. | 14 *ἀνελθὼν δὲ* D[1] corr.[b] | 17 D pro *ἐν* | 19 D[1] pro *παρεκ.*, cf. v. 15. 27. XXII, 2 (Nestle) | *τε* ante *καὶ* om. D | *τ. Π.* add. Dg | 20 *ἐ π ι β α ί ν ε ι ν* D ut v. 4 | 20sq. D pro *τότε ἀπεκρίθη ὁ Π.* (*καὶ εἶπεν*), g *qui respondit et dixit nobis* | 21sq. D pro *συνθρύπτοντες* (*conturbantes* dg) | 22 *δεθ. β ο ύ λ ο μ α ι* D | 24 *Ἰ. χρ.* CDg | 25 *οἱ εἰπ.* D[1] | *πρ. ἀλλ.* add. D | *τὸ θ. τ. κυρ.* (*θεοῦ* D) DHLPg | 27 D pro *τὰς ἡμ. ταύτας ἐπισκευασάμενοι* (*post hos autem dies* dg) | D pro *ἀνεβαίν.* | 28 *συνῆλθον δὲ καὶ τ. μ.* om. D[1]d | 29 D[1] (corr.[b]) *ἐκ* pro *ἀπὸ* | 29sq. D pro *ἄγοντες παρ' ᾧ* (*ἤγαγον* D, emend. Ramsay; *παρ' ᾧ* et. D[2]ds)

οὓς ξενισθῶμεν, καὶ παραγενόμενοι εἴς τινα κώμην ἐγενόμεθα παρὰ Μνάσωνι ∧ Κυπρίῳ, μαθητῇ ἀρχαίῳ. 17 κἀκεῖθεν ἐξιόντες ἤλθομεν εἰς Ἱεροσόλυμα, †ὑπεδέξαντό τε ἡμᾶς ἀσμένως οἱ ἀδελφοί. 18 τῇ δὲ ἐπιούσῃ εἰσῄει ὁ Παῦλος σὺν ἡμῖν πρὸς Ἰάκωβον, ἦσαν δὲ παρ' 5 αὐτῷ οἱ πρεσβύτεροι συνηγμένοι· 19 οὓς ἀσπασάμενος ∧ διηγεῖτο καθ' ἓν ἕκαστον, ὧν ἐποίησεν ὁ θεὸς ἐν τοῖς ἔθνεσιν διὰ τῆς διακονίας αὐτοῦ. 20 οἱ δὲ ἀκούσαντες ἐδόξαζον τὸν θεόν, εἶπόν τε· „Θεωρεῖς, ἀδελφέ, πόσαι μυριάδες εἰσὶν ἐν τῇ Ἰουδαίᾳ τῶν πεπιστευκότων, καὶ πάντες οὗτοι ζηλωταὶ 10 τοῦ νόμου ὑπάρχουσιν· 21 κατηχήθησαν δὲ περὶ σοῦ, ὅτι ἀποστασίαν διδάσκεις ἀπὸ Μωϋσέως τοὺς κατὰ τὰ ἔθνη Ἰουδαίους, μὴ περιτέμνειν αὐτοὺς τὰ τέκνα, μηδὲ τοῖς ἔθεσιν αὐτοῦ περιπατεῖν. 22 τί οὖν ἐστίν; πάντως δεῖ συνελθεῖν πλῆθος· ἀκούσονται γὰρ ὅτι ἐλήλυθας. 23 τοῦτο 15 οὖν ποίησον ὅ σοι λέγομεν. εἰσὶν ἡμῖν ἄνδρες τέσσαρες εὐχὴν ἔχοντες ἐφ' ἑαυτῶν· 24 τούτους παραλαβὼν ἁγνίσθητι σὺν αὐτοῖς, καὶ δαπάνησον εἰς αὐτούς, ἵνα ξυρήσωνται τὴν κεφαλήν, καὶ γνώσονται πάντες, ὅτι ὧν κατήχηνται περὶ σοῦ οὐδέν ἐστιν, ἀλλὰ στοιχεῖς καὶ αὐτὸς φυλάσσων τὸν νό- 20 μον. 25 περὶ δὲ τῶν πεπιστευκότων ἐθνῶν οὐδὲν ἔχουσι λέγειν πρὸς σέ· ἡμεῖς γὰρ ἀπεστείλαμεν κρίναντες μηθὲν τοιοῦτον τηρεῖν αὐτούς, εἰ μὴ φυλάσσεσθαι ∧ τό τε εἰδωλόθυτον καὶ αἷμα ∧ καὶ πορνείαν“. 26 Τότε Παῦλος παραλαβὼν τοὺς ἄνδρας τῇ ἐπιούσῃ ἡμέρᾳ σὺν αὐτοῖς 25

1 sq. add. Ds (τινα om. s) | 2 νασωνι D¹ | τινι om. D (non d) | pro ἀρχ. μ. D (sec. Wetst.) d | 3 Ds pro γενομένων δὲ ἡμῶν | 3 sq. pro ἀσμ. ἀπεδ. ἡμ. (υπεδεξαν τε D, *suscep. autem* d) | 5 sq. D¹ pro πάντες τε παρεγένοντο οἱ πρ. | 6 οὓς D¹ (corr.ᵇ) gv pro καὶ .. αὐτοὺς | 7 D¹ (corr. ᵇ) pro ἐξηγ.; add. g *Paulus*, s αὐτοῖς | ἕνα om. καθ' D¹ corr. ᵇ | 8 ἐδόξασαν ℵDg | 9 τ. κύριον DHPg | εἰπόντες CD, om. αὐτῷ D | 10 Dp August. sah. pro τοῖς Ἰουδ. (ἐν τ. Ἰ. om. ℵg) | add. Dg August. | 11 κατηκησαν D¹ (corr.ᵇ), *diffamaverunt* Dg | 12 Μωσέως D | 12 sq. κατα ἔθνη εισιν (ex d *sunt*) Ιουδαιοις D¹ | πάντας post ἔθνη om. AD¹Evg al. | 13 λέγων post Ἰ. om. D | μητε D | ἐν τοῖς ἔθνεσιν D¹ | 14 αὐτ. add. D¹s | 15 πλ. (τὸ πλ. Dᵇ) συν. DHLP | 18 D pro ἐπ' αὐτοῖς | 18 sq. τὰς κεφαλάς gpvAugust. sah (*sua* add. gp²) | 20 D¹ (corr. ᵇ?) ἀλλ' ὅτι πορεύου pro ἀλλὰ στοιχεῖς καὶ | 21 sq. add. Dg sah | 22 κρίνοντες D¹ | 22 sq. add. DCEHLPg al. | 23 αὐτοὺς post φυλ. om. minusc. quid.; cf. Tsch. | τε om. D | 24 καὶ πνικτὸν om. Dg (καὶ et. p) | ὁ ante Π. om. DE | 25 D pro ἐχομένῃ

ἁγνισθεὶς εἰσῆλθεν εἰς τὸ ἱερόν, διαγγέλλων τὴν ἐκπλήρωσιν τῶν ἡμερῶν τοῦ ἁγνισμοῦ, ἕως οὗ προσηνέχθη ὑπὲρ ἑνὸς ἑκάστου αὐτῶν ἡ προσφορά. 27 †*συντελουμένης δὲ τῆς ἑβδόμης ἡμέρας, οἱ ἀπὸ τῆς Ἀσίας Ἰουδαῖοι ἐληλυθότες,*
5 *θεασάμενοι αὐτὸν ἐν τῷ ἱερῷ συνέχεαν πάντα τὸν ὄχλον καὶ ἐπιβάλλουσιν ἐπ' αὐτὸν τὰς χεῖρας,* 28 *κράζοντες· „Ἄνδρες Ἰσραηλῖται, βοηθεῖτε. οὗτός ἐστιν ὁ ἄνθρωπος ὁ κατὰ τοῦ λαοῦ καὶ τοῦ νόμου καὶ τοῦ τόπου τούτου πάντας πανταχῇ διδάσκων· ἔτι τε καὶ Ἕλληνας εἰσήγαγεν εἰς τὸ ἱερὸν καὶ*
10 *κεκοίνωκεν τὸν ἅγιον τόπον τοῦτον".* 29 *ἦσαν γὰρ προεωρακότες Τρόφιμον τὸν Ἐφέσιον ἐν τῇ πόλει σὺν αὐτῷ, ὃν ἐνόμιζον ὅτι εἰς τὸ ἱερὸν εἰσήγαγεν ὁ Παῦλος.* 30 *ἐκινήθη τε ἡ πόλις ὅλη, καὶ ἐγένετο συνδρομὴ τοῦ λαοῦ, καὶ ἐπιλαβόμενοι τοῦ Παύλου εἷλκον* Λ *ἔξω τοῦ ἱεροῦ, καὶ εὐθέως*
15 *ἐκλείσθησαν αἱ θύραι.* 31 *ζητούντων τε αὐτὸν ἀποκτεῖναι, ἀνέβη φάσις τῷ χιλιάρχῳ τῆς σπείρης, ὅτι „ὅλη συγχύνεται Ἰερουσαλήμ·* ὅρα οὖν μὴ ποιῶνται ἐπανάστασιν"·
32 *ὃς ἐξαυτῆς παραλαβὼν στρατιώτας καὶ ἑκατοντάρχας κατέδραμεν ἐπ' αὐτούς. οἱ δὲ ἰδόντες τὸν χιλίαρχον καὶ τοὺς*
20 *στρατιώτας, ἐπαύσαντο τύπτοντες τὸν Παῦλον.* 33 *τότε ἐγγίσας ὁ χιλίαρχος ἐπελάβετο αὐτοῦ, καὶ ἐκέλευσεν δεθῆναι ἁλύσεσιν δυσί, καὶ ἐπυνθάνετο τίς εἴη καὶ τί ἐστιν πεποιηκώς.* 34 *ἄλλοι δὲ ἄλλο τι ἐπεφώνουν ἐν τῷ ὄχλῳ· μὴ δυναμένου δὲ αὐτοῦ γνῶναι τὸ ἀσφαλὲς διὰ τὸν θόρυβον,*
25 *ἐκέλευσεν ἄγεσθαι αὐτὸν εἰς τὴν παρεμβολήν.* 35 *ὅτε δὲ ἐγένετο ἐπὶ τοὺς ἀναβαθμούς, συνέβη βαστάζεσθαι αὐτὸν ὑπὸ τῶν στρατιωτῶν διὰ τὴν βίαν τοῦ λαοῦ.* 36 *ἠκολούθει γὰρ τὸ πλῆθος* Λ *κράζοντες ἀναιρεῖσθαι αὐτόν.* 37 *μέλλων*

1 D pro *εἰσήει* (*intravit* gpv) | 2 *ἕως οὗ*] *ὅπως* D | *προσενεχθῇ* gpv (non D) | 3 *ἡ* om. D | 3sq. D pro *ὡς δὲ ἔμελλον* [*αἱ*] *ἑπτὰ ἡμέραι συντελεῖσθαι*, cf. g Sch (d add. *αὐτοῖς* ante *τῆς*) | 4 *οἱ δὲ* D (non d) | add. D | 5 falso *συνέχεον* D c. ℵAB. al. | 6 D pro *ἐπέβαλον* | *κρ. καὶ λέγοντες* g | 7 *Ἰστρ.* D | 9 *τε* om. D | 10 *εκοινωνησεν* D[1], *ἐκοίνωσεν* D[2] | 12 *ενομισαμεν* D (perf. et. gv) | *εἰσ. αὐτὸν* s | *ὁ* om. D | 14 *αὐτὸν* post *εἷλκ.* om. Dg | 15 D[1] *καὶ ζ.* (*ζ. δὲ* D[b] al.) | 17 *Ἰερ.*] *civitas* g | add. s | 23 *ἄλλα* om. *τι* D Syr. post.; *τι* om. et. gv, cf. XIX, 32 | D(g) *καὶ μή*, om. *δὲ* | 26 *ἐπὶ*] *εἰς* D (*adhuc esset in gradus* d) | D *τὸν Π. β.*, om. *αὐτὸν* | 27 Dg pro *ὄχλου* | 28 *τοῦ λαοῦ* om. Dg | *κρᾶζον* DHLP | D pro *αἶρε* (g sah. add. *τὸν ἐχθρὸν ἡμῶν*, cf. XXIV, 18. XXVIII, 19)

τε εἰσάγεσθαι εἰς τὴν παρεμβολὴν ʌ *τῷ χιλιάρχῳ ἀποκριθεὶς εἶπεν· „Εἰ ἔξεστίν μοι λαλῆσαι πρός σε“; ὁ δὲ ἔφη· „Ἑλληνιστὶ γινώσκεις;* 38 *οὐκ ἄρα σὺ εἶ ὁ Αἰγύπτιος ὁ πρὸ τούτων τῶν ἡμερῶν ἀναστατώσας καὶ ἐξαγαγὼν εἰς τὴν ἔρημον τοὺς τετρακισχιλίους ἄνδρας τῶν σικαρίων“;* 5
39 *εἶπεν δὲ ὁ Παῦλος· „Ἐγὼ ἄνθρωπος μέν εἰμι Ἰουδαῖος, ἐν Ταρσῷ δὲ τῆς Κιλικίας γεγεννημένος· δέομαι δέ σου συγχωρῆσαί μοι λαλῆσαι πρὸς τὸν λαόν“.* 40 *καὶ ἐπιτρέψαντος* ʌ *τοῦ χιλιάρχου,* †*ἑστὼς ὁ Παῦλος ἐπὶ τῶν ἀναβαθμῶν, κατέσεισεν τῇ χειρὶ πρὸς αὐτούς· πολλῆς τε* 10
ἡσυχίας γενομένης ʌ, *προσεφώνησεν τῇ Ἑβραΐδι διαλέκτῳ λέγων·* 1 *„Ἄνδρες ἀδελφοὶ καὶ πατέρες, ἀκούσατέ μου τῆς* **22**
πρὸς ὑμᾶς νυνὶ ἀπολογίας“. 2 *ἀκούσαντες δὲ ὅτι τῇ Ἑβραΐδι διαλέκτῳ προσφωνεῖ, μᾶλλον* ʌ *ἡσύχασαν. καί φησιν·* 3 *Ἐγώ εἰμι* †*Ἰουδαῖος ἀνήρ,* †*ἐν Ταρσῷ τῆς Κιλικίας γεγεννημένος,* 15
ἀνατεθραμμένος δὲ ἐν τῇ πόλει ταύτῃ, παρὰ τοὺς πόδας Γαμαλιὴλ παιδευόμενος κατὰ ἀκρίβειαν, τοῦ πατρῴου νόμου ζηλωτὴς [τοῦ θεοῦ], καθὼς ἐστε ὑμεῖς πάντες σήμερον, 4 *ὃς ταύτην τὴν ὁδὸν ἐδίωξα μέχρι θανάτου, δεσμεύων καὶ παραδιδοὺς εἰς φυλακὴν ἄνδρας τε καὶ γυναῖκας,* 5 *ὡς καὶ ὁ* 20
ἀρχιερεὺς μαρτυρήσει μοι καὶ πᾶν τὸ πρεσβυτέριον. παρ' ὧν καὶ ἐπιστολὰς δεξάμενος πρὸς τοὺς ἀδελφοὺς εἰς Δαμασκὸν ἐπορευόμην, ἄξων καὶ τοὺς ἐκεῖ ὄντας δεδεμένους εἰς Ἰερουσαλήμ, ἵνα τιμωρηθῶσιν. 6 **ἐγγίζοντος δέ* **μου* ʌ †*μεσημβρίας τῇ Δαμασκῷ, ἐξαίφνης ἐκ τοῦ οὐρανοῦ περιή-* 25

1 sq. D pro *ὁ Π. λέγει τῷ χ.* | 2 Dg pro *εἰπεῖν (τι)* | 3 *οὐ σὺ* D | 7 sq. D pro *Ταρσεύς, τ. Κ. οὐκ ἀσήμου πόλεως πολίτης* | 8 D pro *ἐπίτρεψον* (cf. g) | 8 sq. Dg pro *ἐπ. δὲ* (hoc *δὲ* et. D) *αὐτοῦ* (*loqui* add. g) | 9 Dg pro *ὁ Π. ἑστ.* | 10 D *καὶ σείσας* pro *κατέσεισεν* | D pro *τῷ λαῷ* | *τε* Dg (v *et*) pro *δὲ* | 11 *ἡσυχ.* D pro *σιγῆς* | 12 *λέγων* om. g | 12 sq. *μου .. ἀπολ.*] *verba meae excusationis* g (*νυνὶ* et. Sch. om.) | 14 *προσφωνεῖ* DEHp[1] al. recte pro *-εφώνει*; *αὐτοῖς* om. Dg | D pro *παρέσχον ἡσυχίαν* | 15 D pro *ἀν. Ἰ.* | D pro *γ. ἐν Τ. τ. Κ.* | 17 D pro *πεπαιδευμ.* | 18 *ὑπάρχων* post *ζηλ.* om. D(gv) | secl. *τ. θ.*, cf. Rom. X, 2 (s pro eis *traditionum paternarum mearum,* ex Gal. I, 14) | D pro *π. ὑμ. ἐ.* | *ὃς*] *καὶ* D | 19 D pro *ἄχρι* | 20 D pro *φυλακὰς* | 21 *ἀρχ. Ανανίας* Ms (XXIII, 2) | D pro *μαρτυρεῖ* | *ὅλον* D | 22 *καὶ* om. D Sch. | *παρὰ τῶν ἀδελφῶν* D | 23 *καὶ* om. gv | D pro *ἐκεῖσε* | 24 *εἰς*] *ἐν* D | *τιμ.*] add. g *si qui de hac via essent* | 24 sq. D, sed *ἐγγίζοντι δέ μοι*, ex α *ἐγένετο δέ μοι πορευομένῳ καὶ ἐγγίζοντι τῇ Δ.* (*τῇ* add. D[b]) *περὶ μεσημβρίαν* | 25 *ἀπὸ* D[1] pro *ἐκ* (corr.[b]) |

στραψέ με φῶς ἱκανόν ʌ, 7 καὶ ἔπεσον εἰς τὸ ἔδαφος καὶ ἤκουσα φωνῆς λεγούσης μοι· „Σαῦλε Σαῦλε, τί με διώκεις“; 8 ἐγὼ δὲ ἀπεκρίθην· „Τίς εἶ, κύριε“; εἶπεν δὲ πρός με· „Ἐγώ εἰμι Ἰησοῦς ὁ Ναζωραῖος, ὃν σὺ διώκεις“. 9 οἱ
5 δὲ σὺν ἐμοὶ ὄντες τὸ μὲν φῶς ἐθεάσαντο καὶ ἔμφοβοι ἐγένοντο, τὴν δὲ φωνὴν οὐκ ἤκουσαν τοῦ λαλοῦντός μοι. 10 εἶπα δέ· „Τί ποιήσω, κύριε“; ὁ δὲ εἶπεν πρός με· „Ἀναστὰς πορεύου εἰς Δαμασκόν, κἀκεῖ σοι λαληθήσεται περὶ πάντων ὧν τέτακταί σοι ποιῆσαι“. 11 ὡς δὲ ἀνέστην,
10 οὐκ ἔβλεπον ἀπὸ τῆς δόξης τοῦ φωτὸς ἐκείνου, καὶ χειραγωγούμενος ὑπὸ τῶν συνόντων μοι ἦλθον εἰς Δαμασκόν. 12 Ἁνανίας δέ τις, ἀνὴρ εὐλαβὴς κατὰ τὸν νόμον, μαρτυρούμενος ὑπὸ πάντων τῶν κατοικούντων Ἰουδαίων, 13 ἐλθὼν πρὸς ἐμὲ καὶ ἐπιστὰς εἰπέν μοι· „Σαοὺλ ἀδελφέ, ἀνάβλεψον“.
15 κἀγὼ αὐτῇ τῇ ὥρᾳ ἀνέβλεψα ʌ. 14 καὶ εἶπεν· „Ὁ θεὸς τῶν πατέρων ἡμῶν προεχειρίσατό σε γνῶναι τὸ θέλημα αὐτοῦ καὶ ἰδεῖν τὸν δίκαιον καὶ ἀκοῦσαι φωνὴν ἐκ τοῦ στόματος αὐτοῦ, 15 ὅτι ἔσῃ μάρτυς αὐτῷ πρὸς πάντας ἀνθρώπους ὧν ἑώρακας καὶ ἤκουσας. 16 καὶ νῦν τί μέλλεις; ἀναστὰς
20 βάπτισαι καὶ ἀπόλουσαι τὰς ἁμαρτίας σου, ἐπικαλεσάμενος τὸ ὄνομα αὐτοῦ“. 17 ἐγένετο δέ μοι ὑποστρέψαντι εἰς Ἰερουσαλήμ, προσευχομένου μου ἐν τῷ ἱερῷ γενέσθαι με ἐν ἐκστάσει, 18 καὶ εἶδον αὐτὸν λέγοντά μοι· „Σπεῦσον καὶ ἔξελθε ἐν τάχει ἐξ Ἰερουσαλήμ, διότι οὐ παραδέξονταί σου
25 μαρτυρίαν περὶ ἐμοῦ“. 19 κἀγὼ εἶπον· „Κύριε, αὐτοὶ ἐπίστανται, ὅτι ἐγὼ ἤμην φυλακίζων καὶ δέρων κατὰ τὰς συναγωγὰς τοὺς πιστεύοντας ἐπὶ σέ· 20 καὶ ὅτε ἐξεχύνετο τὸ

περιεστραψα μ[ε] D[1], *-ψαι* D[2], *-έστραψεν* E, *circumfulsit* g (om. *me*) v

1 *περὶ ἐμὲ* om. gv | D(gv) pro *ἔπεσά τε* | 2 pro *Σαοὺλ Σαοὺλ* D(gv) cf. 14 | 3 post *δι.* add. Egs *σκληρόν σοι πρὸς κέντρα* (*-ον*) *λακτίζειν* | *σὺ τίς* p | D pro *τε* | 5 sq. add. DELPs sah g (Chrysost.) | 7 *κύριος* post *δὲ* om. D, *ὁ δὲ κ.* om. sah | 9 ab *ὧν* defic. D (non d) usque ad *καὶ φυλ.* v. 20 | *τέτ. σοι*] *σε δεῖ* sec. dgv | 9 add. dgs, it. 10 | 12 *δέ* om. d | *καὶ* post *ν.* d | 13 *κατοικούντων* om. d | 14 *καὶ ἐπιστὰς* om. d | *Saule, Saule* d, *Saule* gv | 15 *εἰς αὐτόν* om. d sah | *καὶ* pro *ὁ δὲ* dg Sch; *μοι* (14) add. d Sch w | 18 *μ. αὐτοῦ* dv Chrys. | 19 *καὶ ἤκουσας* om. gp | *ἀνάστα* dg | 22 *καὶ* post *Ἱερ.* om. d, recte puto | *προσ-νῷ* om. *μου* Egpv | 23 *καὶ* post *σπ.* om. p | 24 sq. *σου . . ἐμοῦ*] *testim. meum* d | 25 *κἀγὼ*] *et* d

αἷμα Στεφάνου τοῦ μάρτυρός σου, καὶ αὐτὸς ἤμην ἐφεστὼς καὶ συνευδοκῶν καὶ φυλάσσων τὰ ἱμάτια τῶν ἀναιρούντων αὐτόν“. 21 *καὶ εἶπεν πρός με· „Πορεύου, ὅτι ἐγὼ εἰς ἔθνη μακρὰν ἐξαποστελῶ σε“ “.* 22 *Ἤκουσαν δὲ αὐτοῦ ἄχρι τούτου τοῦ λόγου, καὶ ἐπῆραν τὴν φωνὴν αὐτῶν λέγοντες· „Αἶρε* 5 *ἀπὸ τῆς γῆς τὸν τοιοῦτον· οὐ γὰρ καθῆκεν αὐτὸν ζῆν“.* 23 *κραυγαζόντων δὲ καὶ ῥιπτόντων τὰ ἱμάτια καὶ κονιορτὸν βαλλόντων εἰς τὸν οὐρανόν,* 24 *ἐκέλευσεν ὁ χιλίαρχος εἰσάγεσθαι αὐτὸν εἰς τὴν παρεμβολήν, εἴπας μάστιξιν ἀνετάζεσθαι αὐτόν, ἵνα ἐπιγνῷ δι' ἣν αἰτίαν οὕτως κατεφώνουν αὐτοῦ.* 10 25 *ὡς δὲ προέτειναν αὐτὸν τοῖς ἱμᾶσιν, εἶπεν πρὸς τὸν ἑστῶτα ἑκατοντάρχην· „Εἰ ἔξεστιν ὑμῖν ἄνθρωπον Ῥωμαῖον καὶ ἀκατάκριτον μαστίζειν“;* 26 *τοῦτο ἀκούσας* Λ *ὁ ἑκατοντάρχης, ὅτι Ῥωμαῖον ἑαυτὸν λέγει, προσελθὼν τῷ χιλιάρχῳ* εἶπεν *αὐτῷ· „Ὅρα τί μέλλεις ποιεῖν· ὁ* Λ *ἄνθρωπος* 15 *οὗτος Ῥωμαῖός ἐστιν“.* 27 *τότε προσελθὼν* Λ *ὁ χιλίαρχος ἐπηρώτησεν αὐτόν· „Λέγε μοι, σὺ Ῥωμαῖος εἶ“; ὁ δὲ εἶπεν· „Εἰμί“.* 28 *καὶ ἀποκριθεὶς ὁ χιλίαρχος εἶπεν· „*Οὕτως εὐχερῶς Ῥωμαῖον σεαυτὸν λέγεις; *ἐγὼ* γὰρ *οἶδα, πόσου κεφαλαίου τὴν πολιτείαν ταύτην ἐκτησάμην“.* 20 *Παῦλος* † *δὲ ἔφη· „Ἐγὼ δὲ καὶ* ἐν αὐτῇ *γεγέννημαι“.* 29 *τότε ἀπέστησαν ἀπ' αὐτοῦ οἱ μέλλοντες αὐτὸν ἀνετάζειν· καὶ ὁ χιλίαρχος δὲ ἐφοβήθη, ἐπιγνοὺς ὅτι Ῥωμαῖός ἐστιν, [καὶ] ὅτι αὐτὸν ἦν δεδεκώς, καὶ παραχρῆμα ἔλυσεν αὐτόν.* 30 *τῇ δὲ*

1 *σου* om. d | *καὶ αὐτὸς*] *ego* dg | 4 *ἐξαποστελλω* D | Dg pro *ἤκουον* | 6 *καθῆκον* D² al. | 7 *αὐτῶν* post *δὲ* om. Dg (post *ἱμ.* hab. Ev) | 8 Dg Sch. pro *ἀέρα* | 10 DM pro *ἐπεφ.*; *αὐτοῦ* pro *αὐτῷ* M (cf. Chrys.), *περὶ α.* D | 11 *προσέτειναν* CD (*-αν* et. ℵBL) | 12 D pro *-αρχον* | *ὁ Π.* post *ἑκ.* om. Dg Syr. post. | *ἔξ. ὑμ.* h. l. D Sch. | 13 Dgw pro *ἀκ. δὲ* | D pro *-αρχος* | 14 add. DM(gw) | 15 [*ἐ*]*πήγγειλεν αὐτῷ* D¹; *ἀπ. α.* Dᵇs, *ἀπ.* M Syr. post., *ait illi* g (*α ἀπ. λέγων*) | 15 *ὅρα* add. DHLPgp (cf. XVIII, 9) | *γὰρ* om. D¹ | 16 D pro *πρ. δὲ* | 17 D pro *εἶπεν αὐτῷ* | 18 Dg pro *ἔφη· Ναί* | D pro *ἀπεκρίθη δὲ ὁ χ.* (D¹ *καὶ εἶπεν*) | 18 sq. *οὕτως . . λέγεις* add. Beda (*tam facile dicis civ. R. esse?*), cod. Dubl. ap. Berger. (*quam f. te c. R. d.*), versio boh. ap. Tschd. (*quam f. c. R. te d.*) | 20 *οἶδα πόσου* D pro *πολλοῦ, γὰρ ο. π.* Beda | 21 D pro *ὁ δὲ Π.* | *ego vero natus* g, *in ea* add. s Sch. | D pro *εὐθέως οὖν* | 22 post *αὐτοῦ* defic. D usque ad finem libri | 23 *ἐπιγν.*] *cognovit enim* g | *καὶ* recte om. Sch. (*sed et* g) | 24 add. Ms sah | 24 sq. *τῇ δὲ ἐπιούσῃ* M, *et postera die* g; an *τῇ δὲ ἑσπέρᾳ*?

ἐπαύριον βουλόμενος γνῶναι τὸ ἀσφαλές, τὸ τί κατηγορεῖται ὑπὸ
τῶν Ἰουδαίων, ∧ πέμψας ἐκέλευσεν συνελθεῖν τοὺς ἀρχιερεῖς
καὶ πᾶν τὸ συνέδριον, καὶ καταγαγὼν τὸν Παῦλον ἔστησεν
23 εἰς αὐτούς. 1 ἀτενίσας δὲ Παῦλος τῷ συνεδρίῳ εἶπεν· „Ἄν-
5 δρες ἀδελφοί, ἐγὼ πάσῃ συνειδήσει ἀγαθῇ πεπολίτευμαι τῷ
θεῷ ἄχρι τῆς ἡμέρας ταύτης“. 2 ὁ δὲ ἀρχιερεὺς Ἀνανίας
ἐπέταξεν τοῖς παρεστῶσιν αὐτῷ τύπτειν αὐτοῦ τὸ στόμα.
3 τότε ὁ Παῦλος πρὸς αὐτὸν εἶπεν· „Τύπτειν σε μέλλει ὁ
θεός, τοῖχε κεκονιαμένε. καὶ σὺ κάθῃ κρίνων με κατὰ τὸν
10 νόμον, καὶ παρανομῶν κελεύεις με τύπτεσθαι“; 4 οἱ δὲ παρε-
στῶτες εἶπαν: „Οὕτως ἐμπαίζεις τῷ ἀρχιερεῖ τοῦ θεοῦ
λοιδορῶν“; 5 ἔφη τε ὁ Παῦλος· Οὐκ ᾔδειν, ἀδελφοί, ὅτι
ἐστὶν ἀρχιερεύς· γέγραπται γάρ· Ἄρχοντα τοῦ λαοῦ σου οὐκ
ἐρεῖς κακῶς“. 6 γνοὺς δὲ ὅτι τὸ ἓν μέρος ἐστὶν Σαδδου-
15 καίων, τὸ δὲ ἕτερον Φαρισαίων, ἔκραξεν ἐν τῷ συνεδρίῳ·
„Ἄνδρες ἀδελφοί, ἐγὼ Φαρισαῖός εἰμι, υἱὸς Φαρισαίων· περὶ
ἐλπίδος [καὶ] ἀναστάσεως νεκρῶν κρίνομαι“. 7 τοῦτο δὲ
αὐτοῦ λαλήσαντος, ἐγένετο στάσις τῶν Φαρισαίων καὶ Σαδ-
δουκαίων[, καὶ ἐσχίσθη τὸ πλῆθος]. 8 Σαδδουκαῖοι γὰρ
20 λέγουσιν μὴ εἶναι ἀνάστασιν μηδὲ ἄγγελον μήτε πνεῦμα·
Φαρισαῖοι δὲ ὁμολογοῦσιν εἶναι ἀνάστασιν καὶ ἄγγε-
λον καὶ πνεῦμα. 9 καὶ †κραυγῆς ∧ γενομένης, ἐν
ἑαυτοῖς ἐσχίσθησαν, καί ∧ τινες τῶν γραμματέων τοῦ
μέρους τῶν Φαρισαίων διεμάχοντο λέγοντες· „Τί δὲ κακὸν
25 †ἐν τῷ ἀνθρώπῳ τούτῳ εὑρίσκομεν; εἰ δὲ πνεῦμα ἐλάλησεν
αὐτῷ ἢ ἄγγελος“; 10 πολλῆς δὲ γινομένης στάσεως, φοβη-

1 *τὸ ἀσφ.* om. g | *κατηγορεῖτο* M(gv) | 2 *ἔλυσεν αὐτὸν καὶ* om. sah, cf. p. 77,24 | *πέμψας* add. Ms (hi ante *ἔλ.*) sah | 6 pro *ταύτ. τῆς ἡμ.* M al. | 7 *τοῖς παρ. αὐτῷ ἐπέτ.* g Lucif.. Cf. L. XIX, 24 | *percuti* Lucif., cf. 10 | *os Pauli* g Lucif. | 9 *iudicare de me* g Luc. | 10 *παρὰ τὸν νόμον* E (gv Luc.) | *et qui* gv | 11 *sic insilis in sac. Dei maledicendo* Cypr. p. 470. 671. 729 H. cf. XXII, 28 (*τ. θ.* om. g) | 12 *respondit et dixit* Cypr.; *δὲ* pro *τε* gv | 13 *ὅτι* post *γὰρ* om. CEHLPgv Cypr. | 14 *ὁ Π.* post *δὲ* om. gp | 15 *λέγων* post *συν.* add. w | 16 *ἄ. Ἰσραηλῖται ἀδ.* w | 17 *καὶ* recte om. Sch. | *a vobis iudicor hodie* g (XXIII, 21) | 19 secl. propter 22sq. | 21 ab *ὁμολ.* incip. frg. f, usque ad v. 24 | 21sq. f sah pro *τὰ ἀμφότερα* | 22sq. *καὶ . . ἐσχ.* f (sed *inter eos*) pro *ἐγένετο δὲ κραυγὴ μεγάλη* | 23 *ἀναστάντες* om. f | 24 f pro *οὐδὲν* | 25 *εὑρ.* h. l. f | *δὲ* om. f | [*et cum*] (gv Lucif.) *esset inter illos* (*i. i.* et. g Lucif.) *magna dissensio* f

θεὶς ὁ χιλίαρχος μὴ διασπασθῇ ὁ Παῦλος ὑπ' αὐτῶν, ἐκέ-
λευσεν ἀριθμὸν στρατιωτῶν ἐλθόντα ἁρπάσαι αὐτὸν
ἐκ μέσου αὐτῶν ἄγειν τε εἰς τὴν παρεμβολήν. 11 τῇ δὲ
ἐπιούσῃ νυκτὶ ἐπιστὰς αὐτῷ ὁ κύριος εἶπεν· „Θάρσει· ὡς
γὰρ διεμαρτύρω τὰ περὶ ἐμοῦ εἰς Ἰερουσαλήμ, οὕτως δεῖ σε 5
καὶ εἰς Ῥώμην μαρτυρῆσαι".

12 Γενομένης δὲ ἡμέρας, ποιήσαντες συστροφήν τινες
τῶν Ἰουδαίων ἀνεθεμάτισαν ἑαυτοὺς [λέγοντες] μήτε φαγεῖν
μήτε πιεῖν, ἕως οὗ ἀποκτείνωσιν τὸν Παῦλον. 13 ἦσαν
δὲ πλείους τεσσεράκοντα οἱ ἑαυτοὺς ἀναθεματίσαντες. 10
14 προσελθόντες οὖν τοῖς ἀρχιερεῦσιν [καὶ τοῖς πρεσβυτέ-
ροις] ἀπήγγειλαν λέγοντες· „Ἀναθέματι ἀνεθεματίσα-
μεν ἑαυτοὺς μηδενὸς γεύσασθαι καθόλου, ἕως οὗ ἀποκτεί-
νωμεν τὸν Παῦλον. 15 νῦν οὖν ἐρωτῶμεν ὑμᾶς ἵνα τοῦτο
ἡμῖν ποιήσητε· συναγαγόντες τὸ συνέδριον ἐμφα- 15
νίσατε τῷ χιλιάρχῳ λ, ὅπως καταγάγῃ αὐτὸν εἰς ὑμᾶς,
ὡς μέλλοντας διαγινώσκειν ἀκριβέστερον τὰ περὶ αὐτοῦ·
ἡμεῖς δὲ πρὸ τοῦ ἐγγίσαι αὐτὸν πρὸς ὑμᾶς, ἐσόμεθα
ἕτοιμοι τοῦ ἀνελεῖν αὐτόν, ἐὰν δέῃ καὶ ἀποθανεῖν".
16 ἀκούσας δὲ ὁ υἱὸς τῆς ἀδελφῆς Παύλου τὴν ἐνέδραν 20
αὐτῶν, παραγενόμενος καὶ εἰσελθὼν εἰς τὴν παρεμβολὴν
ἀπήγγειλεν τῷ Παύλῳ. 17 προσκαλεσάμενος δὲ ὁ Παῦλος
ἕνα τῶν ἑκατοντάρχων ἔφη αὐτῷ· „Τὸν νεανίαν τοῦτον
ἀπάγαγε πρὸς τὸν χιλίαρχον· ἔχει γάρ τι ἀπαγγεῖλαι αὐτῷ".
18 ὁ μὲν οὖν παραλαβὼν αὐτὸν ἤγαγεν πρὸς τὸν χιλίαρχον 25
καί φησιν· „Ὁ δέσμιος Παῦλος προσκαλεσάμενός με ἠρώτη-

1 ὑπ' αὐτ. ὁ Π. f | 2 *numerum* [*militum*] *venire et* f pro τὸ στράτευμα καταβὰν (καταβῆναι καὶ HLPgv Lucif.). cf. (ἁρ.) XI, 21 | 4 θ. Παῦλε C[3]HLPfp | 5 διεμαρτύρου Cf | τὰ περὶ ἐμοῦ et 6 σε om. vid. f | 7 *et cum* f (τε B al. | 7 sq. L(HP)fgpv Lucif. pro οἱ Ἰουδαῖοι | 8 λέγ. om. ℵ[c]C Syri (add. s) | 10 f | 11 πρ. οὖν f pro οἵτινες (οἳ καὶ g Lucif.) πρ. | καὶ τ. πρ. om. Lucif., recte ut vid. | 12 Lucif. (*indicaverunt dicentes*) pro εἶπαν | ἀναθέματι non exprimit f | 13 add. fg Lucif. (cf. IV, 18) | 14 sqq. f (om. ὑμᾶς; *petite a trib.*) s sah., cf. g Luc. | 17 τὰ] τι (p. 80, 6) fg (v post μέλλ.), om. g Lucif. | 18 πρὸ . . αὐτὸν om. f | πρ. ὑμ. add. s Sch. | f pro ἔσμεν | 19 add. Msf (f *ad nos mori*, cf. 18) | 20 *iuvenis filius* f | *conventionem* f | 21 add. fg (*has* s) | 21 sq. παρ. εἰς τ. π. καὶ εἰσ. πρὸς τὸν Π. ἀπ. αὐτῷ sec. f | 22 *et voc.* f | 23 add. fs | 25 sq. *qui confestim adduxit iuvenem ad tr. dicens* f; g pro ἤγαγεν . . φησίν *ait ad tr.* | 26 προσκ. om. gv (non p)

σεν τοῦτον τὸν νεανίσκον ἀγαγεῖν πρός σε, ἔχοντά τι λαλῆσαί σοι“. 19 ἐπιλαβόμενος δὲ τῆς χειρὸς αὐτοῦ ὁ χιλίαρχος καὶ ἀναχωρήσας κατ' ἰδίαν ἐπυνθάνετο παρ' αὐτοῦ, τί εἴη ὃ ἔχοι αὐτῷ ἀπαγγεῖλαι. 20 εἶπεν δέ· ∧ „οἱ Ἰουδαῖοι
5 συνέθεντο τοῦ ἐρωτῆσαί σε, ὅπως αὔριον τὸν Παῦλον καταγάγῃς εἰς τὸ συνέδριον, ὡς μέλλοντές τι ἀκριβέστερον πυνθάνεσθαι περὶ αὐτοῦ. 21 σὺ οὖν μὴ πεισθῇς ∧· εἰσὶν γάρ ∧ ἐξ αὐτῶν ἄνδρες πλείους τεσσεράκοντα ἕτοιμοι τοῦ αὐτὸν ἀνελεῖν, οἳ καὶ ἀνεθεμάτισαν ἑαυτοὺς μηδενὸς γεύσε-
10 σθαι, ἕως οὗ τοῦτο ποιήσωσιν, καὶ νῦν εἰσὶν ἕτοιμοι προσδεχόμενοι τὴν ἀπὸ σοῦ ἐπαγγελίαν“. 22 ὁ μὲν οὖν χιλίαρχος ἀπέλυσεν τὸν νεανίσκον, παραγγείλας ὅπως μηδεὶς εἰδῇ ὃ αὐτῷ ἐνεφάνισεν ∧. 23 καὶ προσκαλεσάμενός τινας δύο τῶν ἑκατοντάρχων εἶπεν· „Ἑτοιμάσατε στρατιώτας [δια-
15 κοσίους], ὅπως πορευθῶσιν ἕως Καισαρείας, [καὶ] ἱππεῖς ἕως ἑκατὸν καὶ δεξιολάβους διακοσίους“, καὶ ἀπὸ τρίτης ὥρας τῆς νυκτὸς κελεύει ἑτοίμους εἶναι πορεύεσθαι, 24 καὶ τοῖς ἑκατοντάρχαις παρήγγειλεν κτῆνος ∧ παραστῆσαι, ἵνα ἐπιβιβάσαντες τὸν Παῦλον διὰ νυκτὸς
20 διασώσωσιν πρὸς Φήλικα τὸν ἡγεμόνα εἰς Καισάρειαν· ἐφοβήθη γάρ, μήποτε ἁρπάσαντες αὐτὸν οἱ Ἰουδαῖοι ἀποκτείνωσιν, καὶ αὐτὸς μεταξὺ ἔγκλημα ἔχῃ ὡς χρήματα εἰληφώς. 25 ἔγραψεν δὲ ἐπιστολὴν περιέχουσαν τὸν τύπον τοῦτον· 26 „Κλαύδιος Λυσίας
25 τῷ κρατίστῳ ἡγεμόνι Φήλικι χαίρειν. 27 τὸν ἄνδρα τοῦτον συλλημφθέντα ὑπὸ τῶν Ἰουδαίων καὶ μέλλοντα ἀναιρεῖσθαι ὑπ' αὐτῶν, ἐπιστὰς σὺν τῷ στρατεύματι ἐξειλάμην, βοῶντα καὶ λέγοντα ἑαυτὸν εἶναι Ῥωμαῖον.

1 τὸν νεαν. om. f | 3sq. f pro τί ἐστιν ὃ ἔχεις ἀπ. μοι | 4 *qui ait* f, *et dixit* g | ὅτι om. fgv | 7 αὐτοῖς om. g(f?) | 7sqq. εἰσὶν .. ποιήσ. f | 11 τὴν ἐπ. σου sec. f | 12sq. fg pro μηδενὶ ἐκλαλῆσαι | 13 f pro ὅτι ταῦτα ἐνεφάνισας πρὸς ἐμέ | τινας non exprim. lat. | 14 ε. αὐτοῖς s | διακ. et 15 καὶ om. f, recte puto | 15 *qui eant.....usque in C.* f | ἕως (*usque*) post ἱππ. add. w (cf. XIX, 26) | 16 ἑκ. Mfs sah pro ἑβδομήκοντα | δεξ.] *pedites* f | 16sq. καὶ et κελεύει .. πορ. add. f; it. w post νυκτός *et parati sint exire*; cf. s Sch. | 18 καὶ τοῖς κτέ. fs | κτῆνος pro -νη p²s Prov. Sch. | 19sq. *deducerent per noc*[*tem* f (des. reliqua); *per n.* et. s ante διασ. | 20 εἰς Κ. add. M (s post διασ.) | 21sqq. ἐφοβ. κτέ. add. Mgp² (p² om. αὐτὸς) wvs | 23 ἔγρ. δὲ gs, ἔγρ. οὖν αὐτῷ p² (αὐτῷ et. w) | 28 pro μαθὼν g | *se esse c. R.* g, cf. V, 36

28 βουλόμενός τε ἐπιγνῶναι τὴν αἰτίαν, δι’ ἣν ἐνεκάλουν
αὐτῷ, κατήγαγον εἰς τὸ συνέδριον αὐτῶν, 29 ὃν εὑρὼν
μηδὲν περισσότερον ἐγκαλούμενον ἢ περὶ Λ τοῦ νόμου
Μωϋσέως καὶ Ἰησοῦ τινος, μηδὲν δὲ ἄξιον θανάτου Λ
πράσσοντα, ἐξήγαγον αὐτὸν μόλις τῇ βίᾳ. 30 μηνυ- 5
θείσης δέ μοι ἐπιβουλῆς εἰς τὸν ἄνδρα ἔσεσθαι, ἐξαυτῆς
ἔπεμψα πρὸς σέ, παραγγείλας καὶ τοῖς κατηγόροις ἐκεῖ
ἔρχεσθαι πρὸς τὴν σὴν διάγνωσιν. [ἔρρωσο.]“ 31 Οἱ
μὲν οὖν *ἑκατοντάρχαι κατὰ τὸ διατεταγμένον αὐτοῖς ἀνα-
λαβόντες τὸν Παῦλον, ἤγαγον διὰ νυκτὸς εἰς τὴν Ἀντιπα- 10
τρίδα, 32 τῇ δὲ ἐπαύριον ἐάσαντες τοὺς στρατιώτας ⟨ὑπο-
στρέφειν⟩ †εἰς τὴν παρεμβολήν, 33 μετὰ μόνων τῶν
ἱππέων ἦλθον εἰς τὴν Καισάρειαν, καὶ ἀναδόντες τὴν
ἐπιστολὴν τῷ ἡγεμόνι, παρέστησαν καὶ τὸν Παῦλον αὐτῷ.
34 ἀναγνοὺς δὲ τὴν ἐπιστολὴν Λ ἐπηρώτησεν τὸν Παῦ- 15
λον· „Ἐκ ποίας ἐπαρχίας εἶ“; ἔφη „Κίλιξ“. καὶ πυθόμε-
νος Λ εἶπεν· 35 „Ἀκούσομαί σου, Λ ὅταν καὶ οἱ κατήγοροί
σου παραγένωνται“, κελεύσας ἐν τῷ πραιτωρίῳ τῷ Ἡρῴδου
φυλάσσεσθαι αὐτόν.

24 1 Μετὰ δὲ πέντε ἡμέρας κατέβη ὁ ἀρχιερεὺς Ἁνανίας 20
μετὰ πρεσβυτέρων τινῶν καὶ ῥήτορος Τερτύλλου τινός, οἵ-
τινες ἐνεφάνισαν τῷ ἡγεμόνι κατὰ τοῦ Παύλου. 2 κλη-
θέντος δὲ αὐτοῦ, ἤρξατο κατηγορεῖν ὁ Τέρτυλλος λέγων·
3 „Πολλῆς εἰρήνης τυγχάνοντες διὰ σοῦ, καὶ διορθωμάτων
γινομένων τῷ ἔθνει τούτῳ διὰ τῆς σῆς προνοίας πάντῃ τε 25
καὶ πανταχοῦ, ἀποδεχόμεθα, κράτιστε Φῆλιξ, μετὰ πάσης
εὐχαριστίας. 4 ἵνα δὲ μὴ ἐπὶ πλεῖόν σε κόπτω, παρακαλῶ

2 *αὐτῶν* om. g | *εὑρὼν* (*εὕρων*) M pro *εὗρον* | 3 *μ. περ.* et *ἢ* add. g | *ζητημάτων* om. g | 4 *Μ. κ. Ἰ. τ.* Mgs | 4sq. g pro *ἢ δεσμῶν ἔχοντα ἔγκλημα* | 5 *ἐξήγαγον .. βίᾳ* add. Ms (*quem vix eripui de vi* g) | 5sq. *et cum mihi perlatum esset de insidiis* (*Iudaeorum* add. w) *quas paraverant illi* (*ei Iudaei* g) gvw | 6 *ἐξ αὐτῆς* (*-ῶν* ℵAE) om. gv (at w *confestim*) | 7sq. g pro *λέγειν* (*τὰ πρὸς αὐτὸν*) *ἐπὶ σοῦ* | 8 *ἔρρωσο* om. ABgp, cf. XV, 29 | 9 *ἑκατ.* ex coni. pro *στρατιῶται* | *αὐτοῖς* om. g | 11sqq. g (addidi *ὑποστρ.*) | 14 *αὐτῷ* om. g | 15 *ἐπιστ.* sgw; *ἐπηρ.* om. *καὶ* sg; *τ. Π.* Ms | 16 *ἐκ* pro *ἀπὸ* Mg | *εἶ* Ms pro *ἐστίν* | *ἔφη Κ.* M (*καὶ ἔφη Κιλικίας* s) | 17 *ὅτι ἀπὸ Κ.* post *πυθ.* om. Msg | *εἶπεν* (*ἔφη* M) om. *ἔφη* post *σου* Msg | *ἀκ.* pro *διακ.* M | om. *καὶ* Mg Syri al. | 21 *οἵτινες*] *καὶ* g | 24 *διὰ σοῦ* om. g | *καὶ πολλῶν δ.* gv | 25sq. *τε καὶ* om. g (Sch.)

ἀκοῦσαί σε ἡμῶν συντόμως τῇ σῇ ἐπιεικείᾳ. 5 εὑρόντες
γὰρ τὸν ἄνδρα τοῦτον λοιμὸν καὶ κινοῦντα στάσεις οὐ μό-
νον τῷ γένει ἡμῶν, ἀλλὰ σχεδὸν πάσῃ τῇ οἰκου-
μένῃ, πρωτοστάτην τε τῆς τῶν Ναζωραίων αἱρέσεως, 6 ὃς
5 καὶ τὸ ἱερὸν ἐπείρασεν βεβηλῶσαι, ὃν καὶ ἐκρατήσαμεν καὶ
κατὰ τὸν ἡμέτερον νόμον ἠθελήσαμεν κρῖναι· 7 παρελθὼν
δὲ Λυσίας ὁ χιλίαρχος μετὰ πολλῆς βίας ἐκ τῶν χειρῶν
ἡμῶν ἀπήγαγεν, 8 κελεύσας τοὺς κατηγόρους αὐτοῦ ἔρχεσθαι
πρὸς σέ· παρ' οὗ δυνήσῃ αὐτὸς ἀνακρίνας περὶ πάντων
10 τούτων ἐπιγνῶναι, ὧν ἡμεῖς κατηγοροῦμεν αὐτοῦ“. 9 Εἰ-
πόντος δὲ αὐτοῦ ταῦτα, συνεπέθεντο ᴧ καὶ οἱ Ἰουδαῖοι,
φάσκοντες ταῦτα οὕτως ἔχειν. 10 ἀπεκρίθη δὲ ὁ Παῦλος,
νεύσαντος αὐτῷ τοῦ ἡγεμόνος λέγειν· „Ἐκ πολλῶν ἐτῶν
ὄντα σε κριτὴν τῷ ἔθνει τούτῳ ἐπιστάμενος, εὐθύμως τὰ
15 περὶ ἐμαυτοῦ ἀπολογοῦμαι, 11 δυναμένου σου ἐπιγνῶναι, ὅτι
οὐ πλείους εἰσίν μοι ἡμέραι δώδεκα, ἀφ' ἧς ἀνέβην προσ-
κυνήσων εἰς Ἰερουσαλήμ. 12 καὶ οὔτε ἐν τῷ ἱερῷ εὗρόν με
πρός τινα διαλεγόμενον ἢ ἐπίστασιν ποιοῦντα ὄχλου, οὔτε ἐν
ταῖς συναγωγαῖς οὔτε κατὰ τὴν πόλιν, 13 οὐδὲ παραστῆσαι
20 δύνανταί σοι περὶ ὧν νυνὶ κατηγοροῦσίν μου. 14 ὁμολογῶ
δὲ τοῦτό σοι, ὅτι κατὰ τὴν ὁδὸν ἣν λέγουσιν αἵρεσιν οὕτως
λατρεύω τῷ πατρῴῳ θεῷ, πιστεύων τοῖς κατὰ τὸν νόμον
καὶ τοῖς προφήταις γεγραμμένοις, 15 ἐλπίδα ἔχων εἰς τὸν
θεόν, ἣν καὶ αὐτοὶ οὗτοι προσδέχονται, ἀνάστασιν μέλλειν
25 ἔσεσθαι δικαίων τε καὶ ἀδίκων. 16 ἐν τούτῳ καὶ αὐτὸς
ἀσκῶ ἀπρόσκοπον συνείδησιν ἔχειν πρὸς τὸν θεὸν καὶ τοὺς
ἀνθρώπους διὰ παντός. 17 δι' ἐτῶν δὲ πλειόνων ἐλεημοσύ-
νας ποιήσων εἰς τὸ ἔθνος μου παρεγενόμην καὶ προσφοράς,
18 ἐν αἷς εὗρόν με ἡγνισμένον ἐν τῷ ἱερῷ, οὐ μετὰ ὄχλου

2 sq. g, qui tamen add. ex α *et omnibus Iudaeis* | 5 sqq. vv. καὶ κατὰ .. πρὸς σέ vetere vitio (an scriptoris?) om. plerique testes (et. p[1]); hab. Egp[2]v[cl] Syri al. | 8 sq. κελεύσας .. πρὸς σέ om. g | 10 sq. add. Ms, om. δὲ post συν. | 12 *respondens* w | τε ℵABE | 13 λέγων g Cassiod.; s: *defensionem habere pro se* (= ἀπολογίαν ἔχειν ὑπὲρ ἑαυτοῦ), *statum autem assumens divinum dixit* | ἐτῶν] χρόνων g | 14 ὄντα σε] εἶ sec. s | 15 *verum scire* g | 16 προσκυνῆσαι Egv | 18 *neque dissensiones moventem turbae* g | 19 κ. τ. πόλ.] *in foro* s | παραστ.] add. *quicquam* g | 20 σοι om. HLPg | 21 *sectam quam dicunt isti* om. αἱρ. g; *sectam* pro ὁδ. et. v; *et* (ܘ) ante αἱρ. (an τὴν αἱρ.?) s. Del. fort. αἱρ. | 24 οὗτοι om. ℵgw

οὐδὲ μετὰ θορύβου, τινὲς [δὲ] ἀπὸ τῆς Ἀσίας Ἰουδαῖοι, 19 οὓς ἔδει ἐπὶ σοῦ παρεῖναι καὶ κατηγορεῖν, εἴ τι ἔχοιεν πρὸς ἐμέ. 20 ἢ αὐτοὶ οὗτοι εἰπάτωσαν, τί εὗρον ἀδίκημα στάντος μου ἐπὶ τοῦ συνεδρίου, 21 ἢ περὶ μιᾶς ταύτης φωνῆς ἧς ἐκέκραξα ἐν αὐτοῖς ἑστώς, ὅτι περὶ ἀναστάσεως νεκρῶν ἐγὼ κρίνομαι σήμερον ἐφ᾽ ὑμῶν“. 22 Ἀνεβάλετο δὲ αὐτοὺς ὁ Φῆλιξ, ἀκριβέστερον εἰδὼς τὰ περὶ τῆς ὁδοῦ, εἴπας· „Ὅταν Λυσίας ὁ χιλίαρχος καταβῇ, διαγνώσομαι τὰ καθ᾽ ὑμᾶς“, 23 διαταξάμενός τε τῷ ἑκατοντάρχῃ τηρεῖσθαι αὐτόν, ἔχειν τε ἄνεσιν καὶ μηδένα κωλύειν τῶν ἰδίων αὐτοῦ ὑπηρετεῖν αὐτῷ.

24 Μετὰ δὲ ἡμέρας τινὰς Δρούσιλλα ἡ γυνὴ τοῦ Φήλικος, οὖσα Ἰουδαία, ἠρώτα ἰδεῖν τὸν Παῦλον καὶ ἀκοῦσαι τὸν λόγον. βουλόμενος οὖν τὸ ἱκανὸν ποιῆσαι αὐτῇ, μετεπέμψατο τὸν Παῦλον καὶ ἤκουσεν αὐτοῦ περὶ τῆς εἰς Χριστὸν πίστεως. 25 διαλεγομένου δὲ αὐτοῦ περὶ δικαιοσύνης καὶ ἐγκρατείας καὶ τοῦ κρίματος τοῦ μέλλοντος, ἔμφοβος γενόμενος ὁ Φῆλιξ ἀπεκρίθη· „Τὸ νῦν ἔχον πορεύου· καιρῷ δὲ ἐπιτηδείῳ μετακαλέσομαί σε“, 26 ἅμα καὶ ἐλπίζων ὅτι χρήματα δοθήσεται ὑπὸ τοῦ Παύλου, διὸ καὶ πυκνότερον αὐτὸν μεταπεμπόμενος ὡμίλει αὐτῷ. 27 διετίας δὲ πληρωθείσης ἔλαβεν διάδοχον ὁ Φῆλιξ Πόρκιον Φῆστον, †τὸν δὲ Παῦλον εἴασεν ἐν τηρήσει διὰ Δρούσιλλαν.

25 1 Φῆστος οὖν ἐπιβὰς τῇ ἐπαρχίᾳ μετὰ τρεῖς ἡμέρας ἀνέβη εἰς Ἱεροσόλυμα ἀπὸ Καισαρείας, 2 ἐνεφάνισάν τε αὐτῷ οἱ ἀρχιερεῖς καὶ οἱ πρῶτοι τῶν Ἰουδαίων κατὰ τοῦ

1 θορ.] add. v^sixt^ wp² al. *et apprehenderunt me clamantes et dicentes: Tolle inimicum nostrum.* Cf. XXVIII, 19 (XXI, 36) | δὲ om. HLP, *et quidam* g, εἰ μὴ ὅτι ἐθορύβησάν τινες sec. Sch. | 3 τί] εἴ τι gv (non p) | εὗρ.] ἐν ἐμοὶ add. CEHLPv(g) | 4 συν. αὐτῶν g | 5 ἐν α. ἑστ. om. g | 6 ὑφ᾽ ℵEHLPgv | 8 *rursum audiam vos* g | 9 δ-μενός τε H, δ. δὲ L, *iussitque* v (*et praecepit* g), pro δ-μενος cet. | *diligenter custodire* g | 12 sq. Δρούσιλλα . . Ἰουδ. Cassiod. Compl. p. 205 (1402 M.) | 13 sqq. ἠρώτα . . αὐτῇ s (*quae rog.*, pro μετεπ. κτἑ.) | 16 Χρ. Ἰησ. ℵ¹BLgv | 19 Egv (Cassiod.) pro καιρὸν δὲ μεταλαβὼν | 20 *se pecuniam accepturum* g | 21 μεταπ.] *secrete* add. g | 23 τὸν δὲ . . Δρ. Ms pro θέλων δὲ χάριτα καταθέσθαι τοῖς Ἰουδ. ὁ Φ., κατέλιπε τὸν Π. δεδεμένον | 25 ἐπ.] *praeses* add. Lucif. | *post biduum* g, om. Lucif.

Παύλου, καὶ παρεκάλουν αὐτὸν 3 *αἰτούμενοι χάριν κατ' αὐτοῦ, ὅπως μεταπέμψηται αὐτὸν εἰς Ἰερουσαλήμ, ἐνέδραν ποιοῦντες ἀνελεῖν αὐτὸν κατὰ τὴν ὁδόν.* 4 *ὁ μὲν οὖν Φῆστος ἀπεκρίθη τηρεῖσθαι τὸν Παῦλον εἰς Καισάρειαν, ἑαυ-*
5 *τὸν δὲ μέλλειν ἐν τάχει ἐκπορεύεσθαι·* 5 *„οἱ οὖν ἐν ὑμῖν", φησίν, „δυνατοὶ συγκαταβάντες, εἴ τί ἐστιν ἐν τῷ ἀνδρὶ ἄτοπον, κατηγορείτωσαν αὐτοῦ".* 6 *διατρίψας δὲ ἐν αὐτοῖς ἡμέρας οὐ πλείους ὀκτὼ ἢ δέκα, καταβὰς εἰς Καισάρειαν, τῇ ἐπαύριον καθίσας ἐπὶ τοῦ βήματος ἐκέλευσεν τὸν Παῦλον*
10 *ἀχθῆναι.* 7 *παραγενομένου δὲ αὐτοῦ, περιέστησαν αὐτὸν οἱ ἀπὸ Ἱεροσολύμων καταβεβηκότες Ἰουδαῖοι, πολλὰ καὶ βαρέα αἰτιώματα καταφέροντες, ἃ οὐκ ἴσχυον ἀποδεῖξαι.* 8 *τοῦ δὲ Παύλου ἀπολογουμένου, ὅτι „οὔτε εἰς τὸν νόμον τῶν Ἰουδαίων οὔτε εἰς τὸ ἱερὸν οὔτε εἰς Καίσαρά τι ἥμαρτον",*
15 9 *ὁ Φῆστος θέλων τοῖς Ἰουδαίοις χάριν καταθέσθαι, ἀποκριθεὶς τῷ Παύλῳ εἶπεν· „Θέλεις εἰς Ἱεροσόλυμα ἀναβὰς ἐκεῖ περὶ τούτων κριθῆναι ἐπ' ἐμοῦ";* 10 *εἶπεν δὲ ὁ Παῦλος· „Ἑστὼς ἐπὶ τοῦ βήματος Καίσαρός εἰμι, οὗ με δεῖ κρίνεσθαι. Ἰουδαίους οὐδὲν ἠδίκηκα, ὡς καὶ σὺ κάλλιον*
20 *ἐπιγινώσκεις.* 11 *εἰ μὲν [οὖν] ἀδικῶ καὶ ἄξιον θανάτου πέπραχά τι, οὐ παραιτοῦμαι τὸ ἀποθανεῖν· εἰ δὲ οὐδέν ἐστιν ὧν οὗτοι κατηγοροῦσιν* ἢ λέγουσιν περὶ ἐμοῦ, *οὐδείς με δύναται αὐτοῖς χαρίσασθαι. Καίσαρα ἐπικαλοῦμαι".* 12 *Τότε ὁ Φῆστος συλλαλήσας μετὰ τοῦ συμβουλίου*
25 *ἀπεκρίθη· „Καίσαρα ἐπικέκλησαι, ἐπὶ Καίσαρα πορεύσῃ".*

13 *Ἡμερῶν δὲ διαγενομένων τινῶν, Ἀγρίππας ὁ βασιλεὺς καὶ Βερνίκη κατήντησαν εἰς Καισάρειαν ἀσπασόμενοι τὸν Φῆστον.* 14 *ὡς δὲ πλείους ἡμέρας διέτριβον ἐκεῖ, ὁ Φῆστος τῷ βασιλεῖ ἀνέθετο τὸ κατὰ τὸν Παῦλον, λέγων·*

3 *ut eum interficerent* gp(v); add. post *ὁδὸν* s *illi qui votum fecerant se pro virili ⟨facturos esse⟩ ut in manibus suis esset* | *μὲν* om. g Lucif., hab. 4 *τὸν μὲν Π. τηρεῖσθαι* | 5 *μέλλειν* om. Eg Lucif. | 6 *φησὶν* om. g Lucif. | *καταβ.* ℵg Lucif. | 7 *δὲ*] *οὖν* g Lucif. | 8 *οὐ* om. EMHLP | 12 *δὲ* add. Eg Luc. pProv.w, om. *δὲ* (*οὖν* A) post *Φ.* 15 pw | 16 *dixit Paulo* sine *ἀποκρ.* g | 18 *ad trib. Caes., ubi adsto, me etc.* p; *ibi* pro *οὗ* gv^{cl} | 20 secl. *οὖν* (*μὲν γὰρ* HLP, it. non expresso *μὲν* gpv; *μὲν* Sch.) | *καὶ*] *ἢ* Egpv | 21 *τὸ ἀποθ.*] *me morte dignum* g, *mea morte* p^1 | 22 g pro *μου* | 25 *ἀπεκρ.*] *ait* g | 26 *et cum* gpv Cassiod. | *τινῶν*] *multa* (sic) g | 27 *Beronice* constanter g | 28 *et cum* gpv | *aliquot* g

„*Ἀνήρ τίς ἐστιν καταλελειμμένος ὑπὸ Φήλικος δέσμιος,* 15 *περὶ οὗ γενομένου μου εἰς Ἱεροσόλυμα ἐνεφάνισαν οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι τῶν Ἰουδαίων, αἰτούμενοι κατ' αὐτοῦ καταδίκην,* 16 *πρὸς οὓς ἀπεκρίθην, ὅτι οὐκ ἔστιν ἔθος Ῥωμαίοις χαρίζεσθαί τινα ἄνθρωπον εἰς ἀπώλειαν, πρὶν ἢ ὁ* 5 *κατηγορούμενος κατὰ πρόσωπον ἔχοι τοὺς κατηγόρους, τόπον τε ἀπολογίας λάβοι περὶ τοῦ ἐγκλήματος* οὗ ἂν καταφέρωσιν αὐτοῦ. 17 *συνελθόντων οὖν ἐνθάδε, ἀναβολὴν μηδεμίαν ποιησάμενος, τῇ ἑξῆς καθίσας ἐπὶ τοῦ βήματος, ἐκέλευσα ἀχθῆναι τὸν ἄνδρα·* 18 *περὶ οὗ σταθέντες οἱ κατή-* 10 *γοροι οὐδεμίαν αἰτίαν ἔφερον ὧν ἐγὼ ὑπενόουν πονηρῶν,* 19 *ζητήματα δέ τινα περὶ τῆς ἰδίας δεισιδαιμονίας εἶχον πρὸς αὐτόν, καὶ περί τινος Ἰησοῦ τεθνηκότος, ὃν ἔφασκεν ὁ Παῦλος ζῆν.* 20 *ἀπορούμενος δὲ ἐγὼ εἰς τὴν περὶ τούτων ζήτησιν ἔλεγον, εἰ βούλοιτο πορεύεσθαι εἰς Ἱεροσόλυμα κἀκεῖ* 15 *κρίνεσθαι [περὶ τούτων].* 21 τότε ὁ *Παῦλος* ἐπεκαλέσατο Καίσαρα, καὶ ᾐτήσατο *τηρηθῆναι αὐτὸν εἰς τὴν τοῦ Σεβαστοῦ διάγνωσιν.* ἐπειδή τε αὐτὸν οὐκ ἐδυνάμην κρῖναι, *ἐκέλευσα τηρεῖσθαι αὐτόν, ἕως οὗ ἀναπέμψω αὐτὸν πρὸς Καίσαρα*". 22 *Ἀγρίππας δὲ πρὸς τὸν Φῆστον·* „*Ἐβουλόμην* 20 *καὶ αὐτὸς τοῦ ἀνθρώπου ἀκοῦσαι*". „*Αὔριον*", *φησίν,* „*ἀκούσῃ αὐτοῦ*".

23 *Τῇ οὖν ἐπαύριον ἐλθόντος τοῦ Ἀγρίππα καὶ τῆς Βερνίκης μετὰ πολλῆς φαντασίας καὶ εἰσελθόντων εἰς τὸ ἀκροατήριον σύν τε χιλιάρχοις καὶ ἀνδράσιν τοῖς κατ' ἐξοχὴν τῆς* 25 *πόλεως* ⟨καὶ⟩ τοῖς καταβεβηκόσιν ἀπὸ *τῆς ἐπαρχίας,* ⋏ ἐκέλευσεν ὁ Φῆστος ἀχθῆναι τὸν Παῦλον, 24 *καί φησιν* ⋏· „*Ἀγρίππα βασιλεῦ καὶ πάντες οἱ συμπαρόντες ἡμῖν ἄνδρες, θεωρεῖτε τοῦτον, περὶ οὗ ἅπαν τὸ πλῆθος τῶν*

2 *ἐνεφ. μοι* Egpv | 5 add. MHLPg (hic om. *τινα*) s Sch. | 6 *κρινόμενος* s | 7 *τε*] *δὲ* BEM | *π. τ. ἐγκλ.*] *ad abluenda crimina* vw, add. w *quae ei obiciunt* | 11 *ἐγὼ* om. g | 12 sq. *ε. πρ. α.*] *deferebant* g, post *τινα* | 14 *εἰς . . ζητ.*] *de huiusmodi quaestionibus* (*-ne* v) gv | 15 *ἔλεγον*] *interrogavi* g | 16 *π. τ.* om. g (cf. v. 9) | 16 g pro *τοῦ δὲ Π. ἐπικαλεσαμένου* | 17 *Κ.* add. g Prov., *κ. ᾐτ.* add. g | 18 sq. add. g (*posset* pro *-em*) | 19 *ἕως οὗ*] *ut* g | 23 *οὖν*] *δὲ* gpv Cassiod. | 26 *τοῖς . . ἐπ.* s pro (debebat post) *τοῖς . . πόλ.* | 27 pro *καὶ κελεύσαντος τοῦ Φ. ἤχθη ὁ Π.* sg | 28 *ὁ Φ.* om. g | 29 *τ. τὸν ἄνδρα* g

Ἰουδαίων ἐνέτυχέν μοι ἐν ∧ *Ἱεροσολύμοις* ∧, ὅπως παραδῶ
αὐτὸν εἰς θάνατον. 25 ἀκατηγόρητον δὲ οὐκ ἠδυ-
νήθην παραδοῦναι αὐτόν, διὰ τὰς ἐντολὰς ἃς
ἔχομεν παρὰ τοῦ Σεβαστοῦ. ἐὰν δέ τις αὐτοῦ
5 κατηγορεῖν θέλῃ, ἔλεγον ἀκολουθεῖν μοι εἰς Και-
σάρειαν, οὗ φυλάσσεται. ἐλθόντες δὲ ἐβόησαν
αἴρεσθαι αὐτόν. ἀκούσας δὲ ἀμφοτέρων, κατελα-
βόμην ἐν μηδενὶ αὐτὸν ἔνοχον θανάτου εἶναι.
λέγοντος δέ μου· „Θέλεις κρίνεσθαι μετ' αὐτῶν
10 ἐν Ἱεροσολύμοις“; Καίσαρα ἐπεκαλέσατο. 26 *περὶ
οὗ ἀσφαλές τι γράψαι τῷ κυρίῳ οὐκ ἔχω· διὸ προήγαγον
αὐτὸν ἐφ' ὑμῶν, καὶ μάλιστα ἐπὶ σοῦ, βασιλεῦ Ἀγρίππα,
ὅπως τῆς ἀνακρίσεως γενομένης σχῶ τί γράψω·* 27 *ἄλογον
γάρ μοι δοκεῖ πέμποντα δέσμιον μὴ καὶ τὰς κατ' αὐτοῦ*
15 **26** *αἰτίας σημᾶναι“.* 1 *Ἀγρίππας δὲ πρὸς τὸν Παῦλον ἔφη·
„Ἐπιτρέπεταί σοι ὑπὲρ σεαυτοῦ λέγειν“. τότε ὁ Παῦλος*
θαρρῶν καὶ ἐν τῷ ἁγίῳ πνεύματι παράκλησιν
λαβών, *ἐκτείνας τὴν χεῖρα* ἤρξατο ἀπολογεῖσθαι λέ-
γων· 2 *„Περὶ πάντων ὧν ἐγκαλοῦμαι ὑπὸ Ἰουδαίων, βα-*
20 *σιλεῦ Ἀγρίππα, ἥγημαι ἐμαυτὸν μακάριον ἐπὶ σοῦ μέλλων
σήμερον ἀπολογεῖσθαι,* 3 *μάλιστα γνώστην ὄντα σε πάντων
τῶν κατὰ Ἰουδαίους ἐθῶν τε καὶ ζητημάτων ἐπιστάμενος·
διὸ δέομαι μακροθύμως ἀκοῦσαί μου.* 4 *τὴν μὲν οὖν βίωσίν*

1 *τε* et *καὶ ἐνθάδε* om. cod. Dublin. ap. Berger. | 1 sqq. pro *βοῶντες κτἑ.* s, cod. Dubl. ap. B., versio boh. ap. Tschd. | 2 *in mortem* boh., *morti* Du., *ad tormentum* s | *sine defensione* s, *inaccusabilem* Du., *sed in accusatione* (i. e. *sed sine acc.?*) boh.; *δὲ* post *potui* s, om. Du.; fort. *ἀκατηγ. δὲ καὶ ἀναπολόγητον* | 4 *ab Aug.* s, *a Caes.* Sch., *Caesaris* Du. | *eum accusaturus esset* s, *velit cum eo iudicio contendere* boh. (= *κρίνεσθαι μετ' αὐτοῦ*, v. infr.), *accusat eum* Du. | 5 *dicebam ut sequeretur me* s, om. boh., *sequatur* Du. | 6 *custoditur* Du., *-ebatur* s, *ubi c.* om. boh. | *συνελθ.* sec. Du. (*et* pro *ἐ. δὲ* boh.) | 7 *tollite eum de vita* Du., *de vita* et. s (boh. iam cum *α* facit; it. post *vita* Du.) | 11 *κυρ. μου* s (mg. et c. *) | *τί ἀσφ. γράψω τ. κ. οὐχ εὑρίσκω* g | 12 *Ἀγρ.* om. g | 14 sq. *πέμπειν δ. καὶ τὴν αἰτίαν α. μὴ σ.* g, cf. v; it. E *μὴ* post *αἰτ.* demum | 16 *γάρ σοι* g | *ἀπολογεῖσθαι περὶ* (*π.* et. ℵAC al.) *σ.* g | 17 sq. add. s | 18 gv pro *ἀπελογεῖτο* | *λέγων* add. g Sch. | 21 *ἀπολ. σήμ.* EHLPgv | *πάντ.* om. Ag (g *cum maxime cognitos hos* [*habeas?*] *mores et sectam et quaestiones* etc., = *γνωστῶν ὄντων σοι?*) | 22 *ἐπιστ.* cum plerisque om. et. gv

μου τὴν ἐκ νεότητος γενομένην ἐν τῷ ἔθνει μου ἐν Ἱεροσολύμοις ἴσασιν πάντες Ἰουδαῖοι, 5 προγινώσκοντές με ἄνωθεν, ἐὰν θέλωσιν μαρτυρεῖν, ὅτι κατὰ τὴν ἀκριβεστάτην αἵρεσιν τῆς ἡμετέρας θρησκείας ἔζησα Φαρισαῖος· 6 καὶ νῦν ἐπ' ἐλπίδι τῆς εἰς τοὺς πατέρας [ἡμῶν] γενομένης ἐπαγγελίας 5
ὑπὸ τοῦ θεοῦ ἕστηκα κρινόμενος, 7 εἰς ἣν τὸ δωδεκάφυλον ἡμῶν ἐν ἐκτενείᾳ νύκτα καὶ ἡμέραν λατρεῦον ἐλπίζει καταντῆσαι, περὶ ἧς ἐλπίδος ἐγκαλοῦμαι ὑπὸ Ἰουδαίων, βασιλεῦ. 8 τί ἄπιστον κρίνεται παρ' ὑμῖν, εἰ ὁ θεὸς νεκροὺς ἐγείρει; 9 ἐγὼ μὲν οὖν ἔδοξα ἐμαυτῷ πρὸς τὸ ὄνομα Ἰησοῦ τοῦ 10
Ναζωραίου δεῖν πολλὰ ἐναντία πρᾶξαι, 10 ὃ καὶ ἐποίησα ἐν Ἱεροσολύμοις, καὶ πολλοὺς τῶν ἁγίων ἐγὼ ἐν φυλακαῖς κατέκλεισα, τὴν παρὰ τῶν ἀρχιερέων ἐξουσίαν λαβών, ἀναιρουμένων τε αὐτῶν κατήνεγκα ψῆφον, 11 καὶ κατὰ πάσας τὰς συναγωγὰς πολλάκις τιμωρῶν αὐτοὺς ἠνάγκαζον βλασφημεῖν, 15
περισσῶς τε ἐμμαινόμενος αὐτοῖς ἐδίωκον ἕως καὶ εἰς τὰς ἔξω πόλεις. 12 ἐν οἷς πορευόμενος εἰς Δαμασκὸν μετ' ἐξουσίας καὶ ἐπιτροπῆς τῆς τῶν ἀρχιερέων, 13 ἡμέρας μέσης κατὰ τὴν ὁδὸν εἶδον, ὦ βασιλεῦ, οὐρανόθεν ὑπὲρ τὴν λαμπρότητα τοῦ ἡλίου περιλάμψαν με φῶς καὶ τοὺς σὺν ἐμοὶ πο- 20
ρευομένους· 14 πάντων τε καταπεσόντων εἰς τὴν γῆν διὰ τὸν φόβον, ἐγὼ μόνος ἤκουσα φωνὴν λέγουσαν πρός με τῇ Ἑβραΐδι διαλέκτῳ· „Σαοὺλ Σαούλ, τί με διώκεις; σκληρόν σοι πρὸς κέντρα λακτίζειν". 15 ἐγὼ δὲ εἶπα· „Τίς εἶ, κύριε"; ὁ δὲ κύριος εἶπεν· „Ἐγώ εἰμι Ἰησοῦς ὃν σὺ διώ- 25
κεις. 16 ἀλλὰ ἀνάστηθι καὶ στῆθι ἐπὶ τοὺς πόδας σου· εἰς τοῦτο γὰρ ὤφθην σοι, προχειρίσασθαί σε ὑπηρέτην καὶ μάρτυρα ὧν τε εἶδες ὧν τε ὀφθήσομαί σοι, 17 ἐξαιρούμενός σε ἐκ τοῦ λαοῦ καὶ ἐκ τῶν ἐθνῶν, εἰς οὓς ἐγὼ ἀποστέλλω σε, 18 ἀνοῖξαι ὀφθαλμοὺς αὐτῶν, τοῦ ἐπιστρέψαι 30

1 τὴν ἀπ' ἀρχῆς post νεότ. om. g, recte puto | 4 *semper vixi* g | 5 ἡμῶν om. HLP | γεν. ἐπ. Mg | 6 ἕστ.] *ante tribunal* add. p[2] | 7 *deserviunt in spe pervenire* g | 8 νῦν ἐγκ. g | ὦ β. w, cf. v. 13; β. om. Ag | 9 *dominus* g | 11 με πρ. s | 12 ἁγίους om. ἐγὼ g | 15 *nomen eius* ante βλ. w | 16 ἐδ.] αὐτοὺς add. s | καὶ om. gv | 18 ἐπιτρ.] *provocatione* g | 19 ὦ add. s, mg. w (cf. v. 7) | ὑπὲρ om. g | 20 φῶς] *luce* g | 21sq. δ. τ. φ. Mg(s) | 22 ἐ. μ. Ms | λαλοῦσαν πρός με καὶ λέγ. MLP(g) | 24 *stimulum* gv | 24sq. ἐγὼ . . εἶπεν om. g, pergens ἐγὼ γὰρ | 25 *'I.*] add. ὁ Ναζωραῖος sgp[2] | 26 καὶ om. g | 28 τε εἶδες ὧν τε om. p | καὶ ἐξαιρ. g

ἀπὸ σκότους εἰς φῶς καὶ τῆς ἐξουσίας τοῦ σατανᾶ ἐπὶ τὸν
θεόν, τοῦ λαβεῖν αὐτοὺς ἄφεσιν ἁμαρτιῶν καὶ κλῆρον ἐν
τοῖς ἡγιασμένοις πίστει τῇ εἰς ἐμέ“. 19 ὅθεν, βασιλεῦ Ἀγρίππα,
οὐκ ἐγενόμην ἀπειθὴς τῇ οὐρανίῳ ὀπτασίᾳ, 20 ἀλλὰ τοῖς ἐν
5 Δαμασκῷ πρῶτόν τε καὶ Ἱεροσολύμοις εἰς πᾶσάν τε [τὴν] χώ-
ραν Ἰουδαίοις καὶ τοῖς ἔθνεσιν ἀπήγγελλον μετανοεῖν καὶ ἐπι-
στρέφειν ἐπὶ τὸν θεόν, ἄξια τῆς μετανοίας ἔργα πράσσοντας.
21 ἕνεκα τούτων με Ἰουδαῖοι συλλαβόμενοι ἐν τῷ ἱερῷ ἐπει-
ρῶντο διαχειρίσασθαι. 22 ἐπικουρίας οὖν τυχὼν τῆς ἀπὸ τοῦ
10 θεοῦ ἄχρι τῆς ἡμέρας ταύτης ἕστηκα μαρτυρόμενος μικρῷ τε
καὶ μεγάλῳ, οὐδὲν ἐκτὸς λέγων ὧν Λ οἱ προφῆται ἐλάλησαν
μελλόντων γίνεσθαι. γέγραπται γὰρ ἐν Μωϋσεῖ ⟨καὶ
τοῖς προφήταις⟩.........., 23 εἰ παθητὸς ὁ χριστός,
εἰ πρῶτος ἐξ ἀναστάσεως νεκρῶν φῶς μέλλει καταγγέλλειν
15 τῷ τε λαῷ καὶ τοῖς ἔθνεσιν“. 24 Ταῦτα δὲ λαλοῦντος
αὐτοῦ καὶ ἀπολογουμένου, ὁ Φῆστος μεγάλῃ τῇ φωνῇ φησίν·
„Ἐμάνης, Παῦλε, ἐμάνης· τὰ πολλά σε γράμματα εἰς
μανίαν περιέτρεψεν“. 25 ὁ δὲ ἀπεκρίθη αὐτῷ· „Οὐ
μαίνομαι, κράτιστε ἡγεμών, ἀλλ' ἀληθείας καὶ σωφροσύνης
20 ῥήματα ἀποφθέγγομαι. 26 ἐπίσταται γὰρ περὶ τούτων ὁ
βασιλεύς, πρὸς ὃν καὶ παρρησιαζόμενος λαλῶ· †οὐδὲν γὰρ
†τούτων αὐτὸν λανθάνει. ΛΛ 27 πιστεύεις, βασιλεῦ Ἀγρίππα,
τοῖς προφήταις; οἶδα ὅτι πιστεύεις“. 28 ὁ δὲ Ἀγρίππας
πρὸς αὐτόν· „Ἐν ὀλίγῳ με πείθῃ, Παῦλε, Χρηστιανὸν

1 *εἰς φῶς καὶ* om. g | *τῆς*] *ἐκ τ.* g, *ἀπὸ τ.* CEL | 3 *ὅθεν* om. g | 6 *Iudaeis* p[2] pro *τῆς Ἰουδαίας*, quod correxi, simúl secludens *τὴν*. Aliter autem f, cuius (ultimum) frg. incip. a *civitatibus praedicavi poeniteri* etc. (et. g *annuntiavi*) | 8 *ὄντα ἐν τ. ἱ.* lat. cum ℵE | 9 *οὖν*] *δὲ* gv (non f) | 10 *ἄχρι .. ταύτ.* om. f | 11 *τε* om. fg (g *extra .. quamquam* i. e. *quam quae*) | 12 sq. *script[um est enim] in Moysen* f, *scr. est e. Moyse* g, cum lac. manifesta | 14 *εἰ πρ.* om. f | 15 sq. *λαλ.* et *καὶ* add. Egv (*δὲ* om. vg; pro *αὐτοῦ* g *Παύλου* post *ἀπολ.*); f *et cum haec l[oquere]tur oravit* (i. e. *et oraret?*) [*ex*]*clamavit F. et dixit* | 17 *insanis[ti P.] insanisti* f | 18 sq. *conve[rterunt]* ut vid. f | *qui resp. ei* om. *φησίν* f | 19 *legate* pro *Φῆστε* f | *sed .... verit.* f | 20 *γὰρ*] *autem* [*omnia?*] f | 21 *καὶ παρρησ.* om. f | 21 sq. f pro *λανθάνειν γὰρ α. τ. οὐ πείθομαι οὐδέν· οὐ γάρ ἐστιν ἐν γωνίᾳ πεπραγμένον τοῦτο.* (An per neglegentiam haec omissa?) | 23 *Agr.* (om. *δὲ*) *ad eum ait* f | 24 *ἐν* om. f | *πείθῃ* A recte; *-εις* (cett.) et. lat. | add. *Παῦλε* f | *Χρηστ.* ℵ[1] ut XI, 26

ποιῆσαι". 29 πρὸς ὃν οὕτως εἶπεν· „*Εὐξαίμην ἂν τῷ θεῷ καὶ ἐν ὀλίγῳ καὶ ἐν μεγάλῳ οὐ μόνον σέ, ἀλλὰ καὶ πάντας* τούτους *τοὺς ἀκούοντάς μου* ∧ *γενέσθαι τοιούτους, ὁποῖος κἀγώ εἰμι, παρεκτὸς τῶν δεσμῶν τούτων*". 30 *καὶ ταῦτα εἰπόντος ἀνέστη* ∧ *ὁ βασιλεὺς καὶ ὁ ἡγεμὼν ἥ τε* 5
Βερνίκη καὶ οἱ συγκαθήμενοι αὐτοῖς, 31 *καὶ ἀναχωρήσαντες ἐλάλουν πρὸς ἀλλήλους, λέγοντες ὅτι* „*οὐδὲν θανάτου ἢ δεσμῶν ἄξιον πράσσει ὁ ἄνθρωπος οὗτος*". 32 *Ἀγρίππας δὲ τῷ Φήστῳ ἔφη*· „*Ἀπολελύσθαι ἐδύνατο ὁ ἄνθρωπος οὗτος, εἰ μὴ ἐπεκέκλητο Καίσαρα*". 10

27 1 Οὕτως οὖν ὁ ἡγεμὼν πέμπεσθαι αὐτὸν Καίσαρι ἔκρινεν, καὶ τῇ ἐπαύριον προσκαλεσάμενος ἑκατοντάρχην τινὰ *σπείρης Σεβαστῆς, ὀνόματι Ἰούλιον*, παρέδωκεν αὐτῷ τὸν Παῦλον σὺν τοῖς λοιποῖς δεσμώταις. 2 μέλλοντες δὲ πλεῖν ἐπέβημεν *πλοίῳ* 15
Ἀδραμυττηνῷ ∧∧, ἐπέβη δὲ *σὺν ἡμῖν* Ἀρίσταρχος Μακεδὼν Θεσσαλονικεύς. 3 ∧ *κατήχθημεν* δὲ *εἰς Σιδῶνα, φιλανθρώπως τε ὁ* ἑκατοντάρχης *τῷ Παύλῳ χρησάμενος ἐπέτρεψεν* ∧ τοῖς φίλοις τοῖς ἐρχομένοις πρὸς αὐτὸν ἐπιμέλειαν αὐτοῦ ποιήσασθαι. 4 *κἀκεῖθεν ἀναχθέν-* 20
τες ὑπεπλεύσαμεν τὴν Κύπρον, διὰ τὸ τοὺς ἀνέμους εἶναι ἐναντίους, 5 καὶ μετὰ ταῦτα †διαπλεύσαντες τὸν Κιλίκιον κόλπον καὶ τὸ Παμφύλιον πέλαγος *δι᾽ ἡμερῶν δεκάπεντε, κατήλθομεν εἰς Μύρα τῆς Λυκίας*. 6 *κἀκεῖ εὑρὼν ὁ ἑκατοντάρχης πλοῖον Ἀλεξανδρῖνον πλέον εἰς τὴν* 25

1 *ποιῆσαι*] *γενέσθαι* (EHLP)gv | *ad quem sic ait* f | 2 *καὶ* post *ἀλλὰ* om. p | 3 *τούτους* add. fp (f *π.* post *ἀκ. μου*) | *μου* om. p, *σήμερον* om. fp | *κἀγώ*] *ἐγὼ* fg | 4 pro *ἀν. τε* MHLPfs, cf. I, 9. XXVIII, 29 (*ε. αὐτοῦ*, sed *α. ε.* s, om. *α.* M) | 5 *ἥ τε Β.* om. f | 6 *πάντες οἱ* f | *et secesserunt praefantes inter se de eo di*[*centes* | 7 *ὅτι* om. f? | 8 *respon*]*dit autem rex A.* (om. *τ. Φ.*) f | 11 sq. *οὕτως . . ἔκρ.* f (*et ita*; om. *Καίσ.*) p²w (hi (*di*)*mittere*) s (cf. Sch.) | 12 sqq. *καὶ τῇ κτέ.* f (om. *σπ. Σ.*) g (cf. vw) s (*σὺν καὶ*) | 15 *μ. δὲ πλ. ἐπέβ.* fg (g *πλ. εἰς τὴν Ἰτ.*, v. α v. 1) Sch. | 16 *μέλλοντι πλεῖν εἰς τοὺς κατὰ τὴν Ἀσίαν τόπους* om. f (non g Sch.), recte ut vid. sec. β, cum supra sit *μέλλοντες*; vid. igitur in hac narratione quaedam in α demum dilatata esse, cf. praef. | 16 sq. *ἐπέβη κτέ.* f (om. *Θεσσ.*) g (*ἔπλει*) Sch. | 17 f pro *τῇ τε ἑτέρᾳ κατ.* | 18 f pro *Ἰούλιος* (utrumque g) | 19 sq. f | 20 *ἐκ. δὲ πλέοντες* f | 22 sq. *καὶ . . πέλ.* f | 23 sq. *δι᾽ ἡμ. δ.* add. Msf ([*XV die*]*bus* f) | 24 *κἀκεῖ*] *καὶ* f, *καὶ εὑρ. ἐκεῖ* sec. g | 25 *Ἀλεξανδρηνὸν* M (B³ al.)

Ἰταλίαν, ἐνεβίβασεν ἡμᾶς Λ. 7 ἐν ἱκαναῖς δὲ ἡμέραις βραδυπλοοῦντες καὶ μόλις γενόμενοι κατὰ τὴν Κνίδον, μὴ προεῶντος ἡμᾶς τοῦ ἀνέμου ὑπεπλεύσαμεν τὴν Κρήτην κατὰ Σαλμώνην, 8 μόλις τε παραλεγόμενοι αὐτὴν ἤλθομεν εἰς
5 τόπον τινὰ καλούμενον Καλοὺς λιμένας, ᾧ ἐγγὺς ἦν πόλις Λασαία. 9 ἱκανοῦ δὲ χρόνου διαγενομένου, καὶ ὄντος ἤδη ἐπισφαλοῦς τοῦ πλοός, διὰ τὸ καὶ τὴν νηστείαν Λ παρεληλυθέναι, παρῄνει ὁ Παῦλος 10 λέγων αὐτοῖς· „Ἄνδρες, θεωρῶ ὅτι μετὰ ὕβρεως καὶ πολλῆς ζημίας, οὐ μόνον τοῦ φορτίου
10 καὶ τοῦ πλοίου, ἀλλὰ καὶ τῶν ψυχῶν ἡμῶν, μέλλειν ἔσεσθαι τὸν πλοῦν". 11. 12 ὁ δὲ κυβερνήτης καὶ ὁ ναύκληρος ἐβουλεύοντο πλεῖν, †εἴ πως δύναιντο καταντῆσαι εἰς Φοίνικα Λ, λιμένα τῆς Κρήτης ΛΛ, ⟨καὶ⟩ †ἐπείθετο ἐκείνοις μᾶλλον ὁ ἑκατοντάρχης ἢ τοῖς ὑπὸ Παύλου λεγομέ-
15 νοις. ΛΛ 13 ὑποπνεύσαντος δὲ νότου, ΛΛ ἄραντες θᾶσσον παρελέγοντο τὴν Κρήτην. 14 μετ' οὐ πολὺ δὲ ἔβαλεν κατ' αὐτῆς ἄνεμος τυφωνικὸς ὁ καλούμενος εὐρακύλων· 15 συναρπασθέντος δὲ τοῦ πλοίου καὶ μὴ δυναμένου ἀντοφθαλμεῖν τῷ ἀνέμῳ, ἐπιδόντες τ ῷ π ν έ ο ν τ ι κ α ὶ σ υ σ τ ε ί λ α ν τ ε ς τ ὰ ἱ σ τ ί α,
20 κατὰ τὸ συμβαῖνον ἐφερόμεθα. 16 νησίον δέ τι ὑποδραμόντες καλούμενον Καῦδα, ἰσχύσαμεν μόλις περικρατεῖς γενέσθαι τῆς σκάφης, 17 ἣν ἄραντες βοηθείαις ἐχρῶντο, ὑποζωννύντες τὸ πλοῖον, φοβούμενοί τε μὴ εἰς τὴν Σύρτιν ἐκπέσωσιν, ἐχάλασάν τι σκεῦος Λ φέρεσθαι. 18 σφο-

1 εἰς αὐτὸ om. f (ante ἡμ. hab. M) | *et cum tarde navigaremus per aliquod* (ita nunc Berger.) [*dies v*]*enimus Gnidum, et inde cum tulissemus lege*[*bamus, u*]*nde venimus in portum bonum,* vix integre, cum Cretae certe mentio necessaria sit | 2 προσεῶντες omn.; correxi | 3 sq. κατὰ Σ. om. M, cum aster. hab. s | 5 *ubi anchis civitas erat* f | 6 nominis forma incerta: Λασέα B, Λαΐσσα ℵ[c], Ἄλασσα A s, Θάλασ(σ)α gp[1] (p[2] *tessala*) w v | ἱκανοῦ . . διαγ.] f *et cum paucos dies illic fecissemus,* = ⟨οὐκ⟩ ὀλίγας δὲ ἡμ. ἐκεῖ ποιησάντων ἡμῶν? | 7 ἤδη om. fgp | 8 παρῄνει] *ac*[*cessit*] = προσῆλθεν f | αὐτοῖς om. f(g) | 8 et 10 sq. f θ. ἡμᾶς . . πλεῖν μέλλοντας | 9 ὕ. πολλῆς καὶ f | 9 sq. τ. φ. καὶ om. f | 11 sqq. ὁ δὲ . . λεγομ.] ita f (καταντῆσαι om. παραχειμάσαι et. g), om. rell. quae sunt in v. 12 | 14 *quam Paulis* (sic) *verbis* f | 15 *et cum* f | δόξαντες τῆς προθέσεως κεκρατηκέναι om. f | θᾶσσον (ci Boysius et Hammond) sec. f (*celerius*) pro ἆσσον (Ἄσσον) | in *sublegebamus* defic. f | 19 τῷ . . ἱστία add. M (πλέοντι) s (cf. Cassiod. Beda) | 20 κατὰ τὸ σ. s (g et. ἐφερ. om.: *vento se tradiderunt*) | 22 ἐχρώμεθα gp | 23 τε] δὲ g | 24 ἐκπέσωμεν g | ἐχ. τι σκ. φέρεσθαι (*quod traheret*) g, recte fort. et. in α | 24 sq. *vento*

δρῶς δὲ χειμαζομένων ἡμῶν τῇ ἑξῆς ἐκβολὴν ἐποιοῦντο,
19 καὶ τῇ τρίτῃ αὐτόχειρες τὴν σκευὴν τοῦ πλοίου ἔρριψαν
εἰς τὴν θάλασσαν. 20 ἐπιμένοντος δὲ τοῦ χειμῶ-
νος, καὶ μήτε ἡλίου μήτε ἄστρων ἐπιφαινόντων ἐπὶ πλείονας
ἡμέρας ΛΛ, περιῃρεῖτο ἐλπὶς πᾶσα τοῦ σῴζεσθαι ἡμᾶς. 21 πολ- 5
λῆς τε ἀσιτίας ὑπαρχούσης, τότε σταθεὶς ὁ Παῦλος ἐν μέσῳ
αὐτῶν εἶπεν· „Ἔδει μέν, ὦ ἄνδρες, πειθαρχήσαντάς μοι μὴ
ἀνάγεσθαι ἀπὸ τῆς Κρήτης, κερδῆσαί τε τὴν ὕβριν ταύτην
καὶ τὴν ζημίαν. 22 καὶ τὰ νῦν παραινῶ ὑμᾶς εὐθυμεῖν·
ἀποβολὴ γὰρ ψυχῆς οὐδεμία ἔσται ἐξ ὑμῶν, πλὴν τοῦ πλοίου. 10
23 παρέστη γάρ μοι ταύτῃ τῇ νυκτὶ τοῦ θεοῦ οὗ εἰμι, ᾧ
καὶ λατρεύω, ἄγγελος, 24 λέγων· „Μὴ φοβοῦ, Παῦλε· Καί-
σαρί σε δεῖ παραστῆναι, καὶ ἰδοὺ κεχάρισταί σοι ὁ θεὸς
πάντας τοὺς πλέοντας μετὰ σοῦ“. 25 διὸ εὐθυμεῖτε, ἄνδρες·
πιστεύω γὰρ τῷ θεῷ, ὅτι οὕτως ἔσται, καθ᾽ ὃν τρόπον λε- 15
λάληταί μοι. 26 εἰς νῆσον δέ τινα ἡμᾶς δεῖ ἐκπεσεῖν“.

27 Ὡς δὲ τεσσαρεσκαιδεκάτη νὺξ ἐγένετο διαφερομένων
ἡμῶν ἐν τῷ Ἀδρίᾳ, κατὰ μέσον τῆς νυκτὸς ὑπενόουν οἱ
ναῦται προσάγειν τινὰ αὐτοῖς χώραν. 28 καὶ βολίσαντες
εὗρον ὀργυιὰς εἴκοσι, βραχὺ δὲ διαστήσαντες καὶ πάλιν βο- 20
λίσαντες εὗρον ὀργυιὰς δεκαπέντε, 29 φοβούμενοί τε μήπου
κατὰ τραχεῖς τόπους ἐκπέσωμεν, ἐκ πρύμνης ῥίψαντες ἀγκύ-
ρας τέσσαρας εὔχοντο ἡμέραν γενέσθαι, τοῦ εἰδέναι εἰ
σωθῆναι δυνάμεθα. 30 τῶν δὲ ναυτῶν ζητούντων φυ-
γεῖν ἐκ τοῦ πλοίου καὶ χαλασάντων τὴν σκάφην εἰς τὴν 25
θάλασσαν, εὐκαιρίαν ζητούντων, προφάσει ὡς ἐκ πρῴ-
ρας ἀγκύρας μελλόντων ἐκτείνειν, τοῦ ἀσφαλέστερον τὸ
πλοῖον ἑστάναι, 31 εἶπεν ὁ Παῦλος τῷ ἑκατοντάρχῃ καὶ
τοῖς στρατιώταις· „Ἐὰν μὴ οὗτοι ἐν τῷ πλοίῳ μείνωσιν,

autem valido instante et tempestate subsequente autem die g, *permanente autem* (cf. p. 91, 3) *valde autem nobis tempestate iactatis* cod. Dubl. ap. Berger.

1 *ἐποιήσαντο* gv | 3 *ε. τ. θ.* add. Msw (w ante *ἐρρ.*) | 3sq. g Sch. (Sch. *dies compl.* post *χειμ.*), om. 5 *χειμῶνος..λοιπὸν* (*λ.* et. B om.) | 5 *omnis spes nobis auferebatur vitae* g | 5sq. *et cum multis diebus iam ieiunassent* g | 6 *τότε* om. Ag | 7 *μὲν ὑμᾶς* g | 10 *nullius animae* gv | *nisi tantum navis* g | 11 *γάρ* om. g | 11sq. *et cui deservio* v, *cui d.* om. *οὗ εἰμι* g | 13 *ὁ. θ.* om. g | 15 *θ. μου* w Prov. | *locutus est* g | 19 *resonare* g, cf. *προσαχειν* B[1], *apparere* v, *προσεγγίζειν* M | 20 *καὶ π. β.* om. v Sch., recte fort. | 23sq. add. g | 26 *occasionem quaerentes* add. g | 27sq. add. g | 28 *ἰδὼν ὁ Π. εἶπεν* Sch.

ὑμεῖς σωθῆναι οὐ δύνασθε“. 32 τότε ἀπέκοψαν οἱ στρα-
τιῶται τὰ σχοινία ∧ καὶ †τὴν σκάφην εἴασαν ∧ ἐκπεσεῖν.
33 ἄχρι δὲ οὗ ἡμέρα ἤμελλεν γίνεσθαι, παρεκάλει ὁ Παῦλος
ἅπαντας μεταλαβεῖν τροφῆς, λέγων· „Τεσσαρεσκαιδεκάτην
5 σήμερον ἡμέραν προσδοκῶντες ἄσιτοι διατελεῖτε μηθὲν προσ-
λαβόμενοι. 34 διὸ παρακαλῶ ὑμᾶς μεταλαβεῖν τροφῆς· τοῦτο
γὰρ πρὸς τῆς ὑμετέρας σωτηρίας ὑπάρχει· ἐλπίζω γὰρ
ἐν τῷ θεῷ μου, ὅτι οὐδενὸς ∧ ὑμῶν θρὶξ ἀπὸ τῆς κε-
φαλῆς ἀπολεῖται“. 35 εἴπας δὲ ταῦτα καὶ λαβὼν ἄρτον εὐχα-
10 ρίστησεν τῷ θεῷ ἐνώπιον πάντων, καὶ κλάσας ἤρξατο ἐσθίειν,
ἐπιδιδοὺς καὶ ἡμῖν. 36 εὔθυμοι δὲ γενόμενοι πάντες καὶ
αὐτοὶ προσελάβοντο τροφῆς. 37 ἤμεθα δὲ οἱ πάντες ∧
διακόσιοι ἑβδομήκοντα ἕξ. 38 κορεσθέντες δὲ τροφῆς ἐκού-
φιζον τὸ πλοῖον, ἐκβαλλόμενοι τὸν σῖτον εἰς τὴν θάλασσαν.
15 39 ὅτε δὲ ἡμέρα ἐγένετο, οἱ ναῦται τὴν γῆν οὐκ ἐγίνωσκον,
κόλπον δέ τινα κατενόουν ἔχοντα αἰγιαλόν, εἰς ὃν ἐβουλεύοντο,
εἰ δύναιτο, ἐξῶσαι τὸ πλοῖον. 40 καὶ τὰς ἀγκύρας περιελόντες
εἴων εἰς τὴν θάλασσαν, ἅμα ἀνέντες τὰς ζευκτηρίας τῶν
πηδαλίων, καὶ ἐπάραντες τὸν ἀρτέμωνα τῇ πνεούσῃ κατεῖχον
20 εἰς τὸν αἰγιαλόν. 41 περιπεσόντες δὲ εἰς τόπον διθάλασσον
ἐπέκειλαν τὴν ναῦν εἰς σύρτιν· καὶ ἡ μὲν πρῷρα ἐρείσασα
ἔμεινεν ἀσάλευτος, ἡ δὲ πρύμνα ἐλύετο ὑπὸ τῆς βίας τῶν
κυμάτων. 42 τότε ἐβουλεύσαντο οἱ στρατιῶται, ἵνα
πάντας τοὺς δεσμώτας ἀποκτείνωσιν, μή τις ἐκκολυμβήσας
25 διαφύγῃ· 43 ὁ δὲ ἑκατοντάρχης †ἐκώλυσεν τοῦτο γενέ-
σθαι, μάλιστα διὰ τὸν Παῦλον, ἵνα διασώσῃ αὐτόν,
ἐκέλευσέν τε τοὺς δυναμένους κολυμβᾶν ἀπορρίψαντας πρώτους
ἐπὶ τὴν γῆν ἐξιέναι, 44 καὶ τοὺς λοιποὺς οὓς μὲν ἐπὶ σανίσιν,

1 *tunc protinus* g | 2 g pro *τῆς σκάφης, καὶ εἴ. αὐτὴν* | 3 *et cum* (et. v) *dies fieret* g | 5 *προσδ.* et *μηθ. πρ.* om. g (cf. Sch.) | 6sq. *τοῦτο .. ὑπάρχει*] *pro salute vestra* pv (Sch.) | 7sq. g pro *οὐδ. γὰρ* | 9 *πεσεῖται* HLPMg | *καὶ ταῦτα εἴπας, λ.* gv | 11 add. Ms sah | *tunc bono* g | 11sq. *καὶ αὐτοὶ* om. g (Sch.) | 12 *μετελάμβανον* M, *percipiebant* g | 12sq. *οἱ πάντες δ.* pro *αἱ πᾶσαι ψυχαὶ ἐν τῷ πλοίῳ διακόσιαι* g, cf. v. 44 | 15 *οἱ ν.* add. g Sch. | 18 *ἅμα*] *et* g | 21 *ναῦν*] add. s *eo ubi (erat) syrtis* s (est eadem locutio quae v. 17) | *ἐρείσ.* om. g | 22 *ἔμενεν* AHg | 22sq. *τ. κυμ.*] *maris* gv (om. א[1]AB) | 23 *τότε ἐβ. οἱ στρ.* sec. g | 24 *πάντας* add. g | *τις*] *ex eis* add. s | 25sq. g | 27 *ἐκκολ.* Bg | *ἀπορρ.* om. g | 28 *σαν.*] add. vp *ferebant,* g *salvos fieri*, om. g *οὓς .. πλοίου*

οὓς δὲ ἐπί τινων τῶν ἀπὸ τοῦ πλοίου. καὶ οὕτως Λ πᾶcαι
αἱ ψυχαὶ διεcώθηcαν ἐπὶ τὴν γῆν.
1 Καὶ Λ τότε ἐπέγνωμεν, ὅτι Μελίτη ἡ νῆσος καλεῖται. 28
2 οἵ δὲ βάρβαροι παρεῖχον οὐ τὴν τυχοῦσαν φιλανθρωπίαν
ἡμῖν· ἅψαντες γὰρ πυρὰν προσανελάμβανον ἡμᾶς, διὰ τὸν 5
ὑετὸν τὸν ἐφεστῶτα καὶ διὰ τὸ ψῦχος. 3 συστρέψαντος δὲ
τοῦ Παύλου φρυγάνων τι πλῆθος καὶ ἐπιθέντος ἐπὶ τὴν
πυράν, ἔχιδνα ἀπὸ τῆς θέρμης ἐξελθοῦσα καθῆψεν τῆς χειρὸς
αὐτοῦ. 4 ὡς δὲ εἶδον οἵ βάρβαροι κρεμάμενον τὸ θηρίον
ἐκ τῆς χειρὸς αὐτοῦ, πρὸς ἀλλήλους ἔλεγον· „Πάντως φονεύς 10
ἐστιν ὁ ἄνθρωπος οὗτος, ὃν διασωθέντα ἐκ τῆς θαλάσσης
ἡ Δίκη ζῆν οὐκ εἴασεν“. 5 ὁ μὲν οὖν ἀποτινάξας τὸ θη-
ρίον εἰς τὸ πῦρ, ἔπαθεν οὐδὲν κακόν· 6 οἵ δὲ προσεδόκων
αὐτὸν μέλλειν πίμπρασθαι ἢ καταπίπτειν ἄφνω νεκρόν. ἐπὶ
πολὺ δὲ αὐτῶν προσδοκώντων καὶ θεωρούντων μηθὲν ἄτο- 15
πον εἰς αὐτὸν γινόμενον, μεταβαλόμενοι ἔλεγον αὐτὸν εἶναι
θεόν. 7 Ἐν δὲ τοῖς περὶ τὸν τόπον ἐκεῖνον ὑπῆρχεν χωρία
τῷ πρώτῳ τῆς νήσου, ὀνόματι Ποπλίῳ, ὃς ἀναδεξάμενος
ἡμᾶς ἡμέρας τρεῖς φιλοφρόνως ἐξένισεν. 8 ἐγένετο δὲ τὸν
πατέρα τοῦ Ποπλίου πυρετοῖς καὶ δυσεντερίῳ συνεχόμενον 20
κατακεῖσθαι, πρὸς ὃν ὁ Παῦλος εἰσελθὼν καὶ προσευξάμενος,
ἐπιθεὶς τὰς χεῖρας αὐτῷ ἰάσατο αὐτόν. 9 τούτου δὲ γενο-
μένου καὶ οἵ λοιποὶ οἵ ἐν τῇ νήσῳ ἔχοντες ἀσθενείας προσ-
ήρχοντο καὶ ἐθεραπεύοντο· 10 οἳ καὶ πολλαῖς τιμαῖς ἐτίμησαν
ἡμᾶς, καὶ ἀναγομένοις ἐπέθεντο τὰ πρὸς τὰς χρείας. 25
11 Μετὰ δὲ τρεῖς μῆνας ἀνήχθημεν ἐν πλοίῳ παρακεχει-
μακότι ἐν τῇ νήσῳ, Ἀλεξανδρίνῳ, ⟨ᾧ ἦν⟩ παράσημον Διοσ-
κούρων. 12 καὶ καταχθέντες εἰς Συρακούσας, ἐπεμείναμεν

1 sq. g (*animae* et. pv), cf. v. 37 | 3 διασωθέντες om. g Sch. | 5 *reficiebant* (= προσανελ.) pv; *refecerunt* g | πάντας post πρ. om. Ag (post ἡμ. hab. pv) | 7 τι om. MHLPg | 10 sq. πάντως κτέ.] *is h. homicida debet esse* g | 13 προσεδ.] *existimabant* (*aestim.*) gpv, = ἐδόκουν | 14 μέλλ. om. g | 15 δὲ] τε g | 16 εἶναι om. g | 18 sq. *qui nos hospitio humane recepit per triduum* g; *domi suae* post ἡμᾶς add. s Sch. | 22 *imposuit ei manum et* g Sch. | ἀκουστοῦ γ. s | 23 καὶ om. Bgv (non p) | *omnes* (et. pv pro οἱ λοιποὶ) *qui in ins. illa commorabantur infirmantes* g | 25 ἡμᾶς] αὐτόν p[1] | ἀν. ἡμῖν g, ἀν. ἐκεῖθεν s Sch. (ἡμ. post ἐπέθ. Syr. post.) | *in navi* ante τὰ s | 27 graeci παρασήμῳ Διοσκούροις; *cui erat insigne Castorum* v Sch., *cui erat parasemum et Dioscore* g | 28 *mans. ibi* gvs Sch.


ἡμέρας τρεῖς, 13 καὶ ἐκεῖθεν ἄραντες κατηντήσαμεν εἰς
Ῥήγιον. καὶ μετὰ μίαν ἡμέραν ἐπιγενομένου νότου δευτε-
ραῖοι ἤλθομεν εἰς Ποτιόλους, 14 οὗ εὑρόντες ἀδελφοὺς παρε-
κλήθημεν, ἐπιμείναντες παρ' αὐτοῖς ἡμέρας ἑπτά, καὶ οὕτως
5 εἰς τὴν Ῥώμην ἤλθαμεν. 15 κἀκεῖθεν οἱ ἀδελφοὶ ἀκούσαν-
τες τὰ περὶ ἡμῶν ἦλθαν εἰς ἀπάντησιν ἡμῖν ἄχρι Ἀππίου
φόρου καὶ Τριῶν ταβερνῶν, οὓς ἰδὼν ὁ Παῦλος εὐχαριστή-
σας τῷ θεῷ ἔλαβεν θάρσος.

16 Ὅτε δὲ εἰσήλθομεν εἰς Ῥώμην, ὁ ἑκατόνταρχος
10 παρέδωκε τοὺς δεσμίους τῷ στρατοπεδάρχῃ· †τῷ δὲ
Παύλῳ ἐπετράπη μένειν καθ' ἑαυτὸν ἔξω τῆς παρεμβολῆς
σὺν τῷ φυλάσσοντι αὐτὸν στρατιώτῃ. 17 ἐγένετο δὲ μετὰ ἡμέρας
τρεῖς συγκαλέσασθαι αὐτὸν τοὺς ὄντας τῶν Ἰουδαίων πρώ-
τους· συνελθόντων δὲ αὐτῶν συνέβαλλεν πρὸς αὐτοὺς
15 λέγων· „Ἐγώ, ἄνδρες ἀδελφοί, οὐδὲν ἐναντίον ποιήσας τῷ
λαῷ ἢ τοῖς ἔθεσιν τοῖς πατρῴοις, δέσμιος ἐξ Ἱεροσολύμων
παρεδόθην εἰς τὰς χεῖρας τῶν Ῥωμαίων, 18 οἵτινες πολλὰ
ἀνακρίναντές με ἐβούλοντο ἀπολῦσαι, διὰ τὸ μηδεμίαν αἰτίαν
θανάτου ὑπάρχειν ἐν ἐμοί· 19 ἀντιλεγόντων δὲ τῶν Ἰουδαίων
20 καὶ ἐπικραζόντων· „Αἶρε τὸν ἐχθρὸν ἡμῶν“, ἠναγκά-
σθην ἐπικαλέσασθαι Καίσαρα, οὐχ ὡς τοῦ ἔθνους μου ἔχων
τι κατηγορεῖν, ἀλλ' ἵνα λυτρώσωμαι τὴν ψυχήν μου
ἐκ θανάτου. 20 διὰ ταύτην οὖν τὴν αἰτίαν παρεκάλεσα
ὑμᾶς ἰδεῖν καὶ προσλαλῆσαι· εἵνεκεν γὰρ τῆς ἐλπίδος τοῦ
25 Ἰσραὴλ τὴν ἅλυσιν ταύτην περίκειμαι“. 21 οἱ δὲ πρὸς αὐ-
τὸν εἶπαν· „Ἡμεῖς οὔτε γράμματα περὶ σοῦ ἐδεξάμεθα ἀπὸ
τῆς Ἰουδαίας, οὔτε παραγενόμενός τις ἀπὸ Ἱεροσολύμων
τῶν ἀδελφῶν ἀπήγγειλεν ἢ ἐλάλησέν τι περὶ σοῦ πονηρόν.

1 g (*et inde talimus et*) pro ὅθεν περιελ(θ)όντες | 3 οὗ καὶ g | 4 παρ' αὐτ. h. l. gvs (ἐπιμείναντες pro -ῖναι recte HMg [g *et mansimus*], it. Syr. post.) | *dies* IIII g | 5 ἐκεῖθεν om. g | 7sq. ἔλ. θ. καὶ εὐχαρίστησεν τ. θ. sec. g | 9 *Romae* p[1] | 9sq. add. MHLPsgp Prov. al. (στρ. *principi peregrinorum* g, cf. Harnack-Mommsen Ber. d. Berl. Akad. 1895, 491; sed *praefecto* pProv.) | 10sq. M etc. (ἐπ. δὲ τ. Π. gp al.) | 11 καθ' ἑ. ἔξω τ. π. M, *sibimet foras extra c.* wProv., *extra c.* et. s (ante καθ') et om. κ. ἑ. gp al. (g *foras man. e. c.*, p *m. f. e. c.*) | 12 τοῖς φυλάσσουσιν α. στρ-αις g | 12 ἐγέν. om. vProv., *convocavit* et. g | 13 *primos Iud.* om. ὄντας g Prov. v (non p) | 14 ἐλθ. p[1] | 14sq. pro ἔλεγεν πρ. α. g (*conferebat cum eis d.*) | 17 π. add. Ms | 20 add. Ms | 22sq. add. Msgp Prov. | 24 *alloqui vos* p | 25 περ.] add. *hic* g | πρ. α. om. g | 27 add. g Sch. | 28 ἐλ. ἡμῖν s Sch. | τι om. gp

22 ἀξιοῦμεν δὲ παρὰ σοῦ ἀκοῦσαι ἃ φρονεῖς· περὶ μὲν γὰρ τῆς αἱρέσεως ταύτης γνωστὸν ἡμῖν ἐστιν, ὅτι πανταχοῦ ἀντιλέγεται ἐν ὅλῃ τῇ οἰκουμένῃ“. 23 Ταξάμενοι δὲ αὐτῷ ἡμέραν, ἦλθον πρὸς αὐτὸν εἰς τὴν ξενίαν πλείονες, οἷς ἐξετίθετο διαμαρτυρόμενος τὴν βασιλείαν τοῦ θεοῦ, πείθων τε αὐτοὺς περὶ τοῦ Ἰησοῦ ἀπό τε τοῦ νόμου Μωϋσέως καὶ τῶν προφητῶν, ἀπὸ πρωῒ ἕως ἑσπέρας. 24 καὶ οἱ μὲν ἐπείθοντο τοῖς λεγομένοις, οἱ δὲ ἠπίστουν· 25 ἀσύμφωνοι δὲ ὄντες πρὸς ἀλλήλους ἀπελύοντο εἰπόντος τοῦ Παύλου ῥῆμα ἕν, ὅτι καλῶς τὸ πνεῦμα τὸ ἅγιον ἐλάλησεν διὰ Ἠσαΐου τοῦ προφήτου πρὸς τοὺς πατέρας ὑμῶν 26 λέγον· „Πορεύθητι πρὸς τὸν λαὸν τοῦτον καὶ εἶπον· Ἀκοῇ ἀκούσετε καὶ οὐ μὴ συνῆτε, καὶ βλέποντες βλέψετε καὶ οὐ μὴ ἴδητε· 27 ἐπαχύνθη γὰρ ἡ καρδία τοῦ λαοῦ τούτου, καὶ τοῖς ὠσὶν βαρέως ἤκουσαν, καὶ τοὺς ὀφθαλμοὺς αὐτῶν ἐκάμμυσαν, μή ποτε ἴδωσιν τοῖς ὀφθαλμοῖς καὶ τοῖς ὠσὶν ἀκούσωσιν καὶ τῇ καρδίᾳ συνῶσιν καὶ ἐπιστρέψωσιν, καὶ ἰάσομαι αὐτούς. 28 γνωστὸν οὖν ἔστω ὑμῖν, ὅτι τοῖς ἔθνεσιν ἀπεστάλη τοῦτο τὸ σωτήριον τοῦ θεοῦ· αὐτοὶ καὶ ἀκούσονται“. 29 καὶ ταῦτα αὐτοῦ εἰπόντος ἀπῆλθον οἱ Ἰουδαῖοι, πολλὴν ἔχοντες ἐν ἑαυτοῖς συζήτησιν. 30 ὁ δὲ Παῦλος διετίαν ὅλην ἐν ἰδίῳ μισθώματι μένων ἀπεδέχετο πάντας τοὺς εἰσπορευομένους πρὸς αὐτόν, καὶ διελέγετο πρὸς Ἰουδαίους τε καὶ Ἕλληνας, 31 κηρύσσων τὴν βασιλείαν τοῦ θεοῦ, διισχυριζόμενος καὶ λέγων †ἀκωλύτως, ὅτι οὗτός ἐστιν ὁ χριστὸς ὁ υἱὸς τοῦ θεοῦ, δι᾽ οὗ μέλλει πᾶς ὁ κόσμος κρίνεσθαι.

2 *ei contrad.* p² | 3 add. gp (w post ἐστιν) | 5 ἔπειθεν gp | 8 *quae a Paulo dic.* gp | ἀσ. δὲ] ἀσ. τε ℵ¹v(gpv) | 10 ὅτι om. p¹ | τὸ ἅγ. om. p¹ | 10sq. τοῦ προφ. om. p | 11 ἡμῶν HLPgv (non p) | 13 *grava* (*ingr.* p) *autem cor* ([*aures*] p) gp¹ (ἐβαρύνθη ℵ¹, et cf. v. l. Matth. XIII, 15) | 14 καὶ . . ἤκ. om. gp¹ | 15 ἐκάμμ.] *obscura* g, *obtura* p¹ | 17 καὶ ἐπ. om. p¹ | *sanem* gvp² (*-abo* p¹) | 19 α. γὰρ καὶ s Sch.; α. om. καὶ g | 19sqq. καὶ . . συζήτ. add. HLPgpvs | 21sq. ὁ δὲ Π. . . μένων p (g *mansit autem P.* etc.) | 23 καὶ διελ. πρ. gp | 23sq. Ἰ. τε κ. Ἑλλ. add. gpMs | 25sqq. *adfirmans et dicens sine* etc. p | (*dicens*) *quia hic* etc. Syr. post. pw Prov. al. | 26 *Iesus* p, *I. Chr.* w Prov., *Chr. I.* Syr., *Chr.* tolet. al. ap. Berger. (cf. IX, 20)




Indiculus locorum, de quibus in praefatione agitur.


Addenda et corrigenda.

P. 25, 8 adn. [τοῦ θεοῦ] add.: cf. Clem. Rom. Homil. XVIII, 12 *ἡμεῖς ὦ Σίμων ἐκ τῆς μεγάλης δυνάμεως, ἔτι τε καὶ τῆς κυρίας λεγομένης κτέ.*

P. 60, 1 add. *τινες* post *ὑμᾶς*.

Praef. p. VI. Aquila quoque teste Hieronymo suam V. T. versionem bis edidit, v. Nestle Philologica sacra (Berol. 1896) p. 43.




U. C. BERKELEY LIBRARIES
C057911114


BS
E27
1816
Bible.
176429

